Chr. Accerse mihi socios agricolas (invenies autem forte
Rure ipsos labori misere intentos)
Ut æqualem unusquisque huc adveniens
Nobiscum capiat hujusce Pluti partem.
Car. Jam eo, hanc autem carunculam
Domesticorum aliquis intro ferat.
Chr. Hoc mihi curæ erit, at cito curre.

Tu

ΣΧΟΛΙΑ.

Πάλιν. | Ὡς καὶ πρώην.

222. Ἀλλ' ἴθι. | Τὸ ἴθι ῥῆμα μὲν ὂν μὴ μέλλοντος μετοχικῶς συντάσσει, οἷον ἴθι ποιήσων τόδε. ἐπίῤῥημα δὲ παρακελευσματικὸν, ὥσπερ τὸ ἄγε, μὴ προσακλικῶς οἷον ἴθι ποίησον τόδε.

223. Τὰς ξυγγεώργους. | Ξυγγίωργος βαρυτόνως, σύνθετον ἦν, ὡς πάγκαλος, πάνσοφος. τὰ γὰρ εἰς ος ὀξύτονα, συντιθέμενα βαρύνει.

226. Ἡμῖν μετάσχῃ. | Ὥσπερ μεταλαμβάνω τοῦτο καὶ τοῦτο φαιμὲν, ὅταν καὶ τὸ μετέχω διπλῶς συντάσσεται. καὶ ὅτε μὲν ἐστι γενικὴ τὸ μὴ ἔχειν τὴν δύναμιν. ὅτε δὲ αἰτιατικὴ τὸ ἔχω ἢ τὸ λαμβάνω.

227. Τοῦτο δὲ τὸ κριάδιον. | Ὃ ἔρχεται λαβὼν τῆς θυσίας ἔχων τὸν Δελφῶν. οἱ γὰρ ὅτε θυσίας ἱόντες, ἔφερον ἐξ αὐτῆς τῆς θυσίας τοῖς οἰκείοις κατὰ νόμον τινά. ἄλλως· ὅπερ ἦκον ἄγοντες λαφθὲν ἀπὸ τῆς θυσίας ἔνιοι δέ, τὸ λεβήτιον.

229. Ἐμοὶ μελήσει. | Τοῦ εἰσενέγκαι φησὶ τὸ κριάδιον, τὸ δὲ ἀνύσας ἀντὶ τοῦ ἄνυσον.

230. Σὺ

Σύ δ', ὦ κράτιστε Πλοῦτε πάντων δαιμόνων,
Ἐγὼ μετ' ἐμοῦ δεῦρ' εἴσιθ'. ἡ γὰρ οἰκία
Αὐτή ἐστιν, ᾗ δεῖ χρημάτων σε τὴμεργὸν
Μεστὴν ποιῆσαι, καὶ δικαίως καὶ δίκαιος.
Πλ. Ἀλλ' ἄχθομαι μὲν εἰσιὼν, νὴ τοὺς θεούς,
Εἰς οἰκίαν ἑκάστοτ' ἀλλοτρίαν πάνυ.
Ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτῶν πώποτε.
Ἢν μὲν γὰρ εἰς φειδωλὸν εἰσελθὼν τύχω,
Εὐθὺς κατώρυξέ με κατὰ τῆς γῆς κάτω.
Κἂν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος,
Αἰτῆσαι λαβεῖν τι μικρὸν ἀργυρίδιον,
Ἐξαρνός ἐστι, μηδ' ἰδεῖν με πώποτε.
Ἢν δ' εἰς πολυτελῆ τινα ἄνθρωπον εἰσελθὼν τύχω,
Πόρναισι καὶ κύβοισι προσβεβλημένον,
Γυμνὸς διέρχεται πεσὼν ἐν ἀκαρεῖ χρόνῳ.
Χρ. Μετέμοι γὰρ ἂν δεῖ σοι ἐπιτυχεῖν πώποτε.
Ἐγὼ γὰρ τούτου τοῦ τρόπου πως εἰμὶ ἀεὶ
Χαίρων

ΣΧΟΛΙΑ.

230. Σύ δ', ὦ κράτιστε. | Τὸ κράτιστε ἤτοι ἐγκωμιάζων φησὶν, ἢ ὅτι προειδὼς ὡς καὶ θεῶν ὁ Ζεὺς δι' αὐτὸν βασιλεύει. ἄλλως. παρεπιγραφὴ, ὅτι εἰς τὴν οἰκίαν ἔφθασαν. τοὺς δὲ λόγους πάντας ἐκείνης ἐρχόμενοι ἐν τῇ ὁδῷ ἔλεγον.

233. Καὶ δικαίως καὶ δίκαιος. | Τὸ ἀδίκως ἁπλῶς ἁρπάζει. οἷον ἀτάκτῳ τύχῃ. ἢ γὰρ ὑποκεῖται αὐτῷ, ἄδικος ὤν. ἢ ἀπλητικῶς δὲ, ἀντὶ μελλητικῶς προσαγορεύει. ἄλλως. ἀντὶ τοῦ παντὶ τρόπῳ ὤν Ἀττικοί.

237. Φειδωλόν. | Φειδωλός τις ὁ φεύγων τὸ δοῦναι, παρὰ τὸ φείδομαι καὶ τὸ δοῦναι. φειδωδός τις ὤν. καὶ τροπῇ τοῦ δ εἰς λ, φειδωλός.

239. Κἂν τις προσέλθῃ χρηστός. | Ἵνα τὴν ὑπερβολὴν τῆς φιλαργυρίας σημάνῃ προκειμένης καὶ τοῦ χρηστῶν φίλων.

242. Παραπλῆγα. | Ἄφρονα. μωρόν. ἀπὸ τοῦ κρημάτων τοῦ διαπεπλακότων τοῦ εὐαρμοστίᾳ λυρισμοῦ. ἀληθῶς γὰρ ἡ ἀσωτία παραπληγμόν ἐστι διάνοια. 244. Ἐν

235. Poor Men, when they suddenly become Rich, fall, for the most part, into ἐκφυσιν Prodigality, or extreme Avarice.

Tu autem, O præſtantiſſime Deorum omnium Plute,
Huc mecum ingredere, domus enim
Hæc eſt, quam opus eſt opibus hodie
Repleas per fas & nefas.

Plu. At, ita me dii ament, ægrè fero cum ingredior
Crebro domum prorſus alienam,
Boni enim nihil unquam illic adeptus ſum.
Si enim ad parcum forte ingreſſus fuero,
Continuo me defodit in terram deorſum;
Et ſi quis probus acceſſerit amicus,
Rogans ut paululum quiddam pecuniolæ accipiat,
Statim negat ſe vel unquam me vidiſſe.
At ſi forte ad vecordem ingreſſus fuero,
In ſcorta & aleas projectus,
Nudus protrudor foras momento temporis.

Chr. Nempe quia nunquam in hominem moderatum incidiſti.
At ego moribus hujuſmodi mire præditus ſum ſemper;
Lubens

ΣΧΟΛΙΑ.

244. Ἐν ἀκαρεῖ. | Πεποίηται παρὰ τὸ ἄτμητον τ̃ χρόνου. ὡς γὰρ τὸ κείρομαι τριχός, ἀκαρὲς τὸ ἄτμητον. ἄλλως. τῷ ἐλαχίστῳ ὁ οὐχ οἷόν τε διακόψαι διὰ τὸ βραχύτατον τ̃ χρόνου. πεποίηται δὲ ἀπὸ τ̃ μικρῶν τριχῶν τ̃ διὰ βραχύτητα μὴ δυναμένων καρῆναι. ἄλλως. ἐπίῤῥημα τὸ ἀκαρῶς, ἀφ' ὃ τὸ ἀκαρὲς ἐπιῤῥηματικὸν ὄνομα. ὅπερ ὃ πάχυσιν ὀνεῖνοι διʼ ἀσωτίαν γυμνούμενοι, τοῦτο εἰς ἑαυτὸν ἐπήγαγε.

245. Μετρίως γ̃ ἀνδρός. | Τυτίσι ταῦτα πάσχει, ἐπεὶ οὐδέ ποτε μετρίως ἀνδρὸς ἔτυχες.

246. Πως εἰμὶ ἀεί. | Τὸ πως θαυμαστικόν ἐστι. θαυμάζει γ̃ αὐτὸν ὡς ἀεί ποτε σύμμετρον ὄντα. μετρίως δὲ λέγει ἀνδρὸς, τ̃ διαμετροῦντος ἑαυτὸν τ̃ ζ̃ν.

247. Φιλόπαιδος.

Χαίρω τι γὰρ φειδόμενος. (ὡς εὐδὲις ἀνήρ.)
Πάλιν τ' ἀναλῶν, ἡνίκ' ἂν τύτυ δέῃ.
Ἀλλ' εἰσίωμεν, ὡς ἰδεῖν σε βέλομαι
Καὶ τὴν γυναῖκα καὶ τ' ὑὸν τ' μόνον,
Ὃν ἐγὼ φιλῶ μάλιστα μετά σε. Πλ. Πείθομαι.
Χρ. Τί γὰρ ἄν τις ὑγιὲς περός σε ταύληθῆ λέγοι;

ΣΧΟΛΙΑ.

247. Φειδόμενος. | Ἀριστῆς γὰρ ἐπὶ τῷ δέοντι καιρῷ ἁρμοζομένας καὶ φειδοὺς καὶ δαπανᾶς.

248. Ἡνίκ' ἂν τύτυ δέῃ. | Τὸ ἡνίκ' ἂν τύτυ δέῃ κοινῶς λάμβανε, καὶ πρὸς τὸ ἀναλῶν καὶ τὸ φειδόμενος.

249. Ὡς ἰδεῖν σε βέλομαι. | Οὐχ ὅτι ὁ πλῦτος ἰδεῖν τὴν γυναῖκα

ΔΡΑΜΑΤΟΣ τῦ ΔΕΥΤΕΡΟΥ
ΣΚΗΝΗ ΠΡΩΤΗ.

ΚΑΡΙΩΝ, ΧΟΡΟΣ.

Ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταυτὸν θύμον φανέντες,
Ἄνδρες φίλοι, καὶ δημόται, καὶ τῦ πονεῖν ἑταῖροι,
Ἴτ'

ΣΧΟΛΙΑ.

253. Ὦ πολλὰ δὴ τῷ δεσπότῃ. | Εἰώθασις διπλῆς ἀμοιβαίας ἐν τίχαις ἰαμβικῶν συνήμ πρὸς τοῖς τεσσαράκοντα, ἄχρι ξ', ἐγὼ δὲ τὴν Κίρκλιν. ὧν οἱ μὲ τετράμετροί εἰσι καταληκτικοί, οἱ δὲ, βλαχῴδεις τε προβατίων, καὶ αἰγῶν τε κινεδρώντων μέλη, ἔτι δὲ ἠγυρμένων τοῖς προβατίοις, καὶ εἰκῇ δὲ καταδιερθέντα καὶ τέσσαρα ὄντες, δίμετροί εἰσιν ἀκατάληκτοι, καὶ τὸ μὲ τετράμετρον ἱπποκράτιον καλεῖται, διὰ τὸ κατακόρως αὐτὸν τύτῳ χρήσασθαι. οἷον ἔστι καὶ τὸ, Εἰμοι γένοιτο παρθένος καλή τις καὶ τέρπνα. τὸ δὲ δίμετρα ἀνακρεόντιον, οἷον ἔστι τὸ, Καὶ μαίνομαι κὐμαίνομαι. ἐφ' ἑκάστῳ ῥητήματι παράγραφος, ἐπὶ δὲ τῷ τέλει τ τίχων, διπλῆ ἔξω νυ-

στίᾳ,

Lubens enim comparco (ut nemo magis)
Et rursus sumptus facio, quando his opus est.
Sed eamus intro; volo utique ut te videant
Et uxor mea & filius unicus,
Quem ego post te maxime deamo. *Plu.* Credo.
Chr. Cur enim tibi quis vera non dicat?

ΣΧΟΛΙΑ.

καὶ ϰ᾽ τ᾽ υἱὸν, ἀλλ᾽ ἵνα σὲ εἰδῶσιν. ὅταν γὰρ πρέπῃ. Ἀτλικὸν δὲ τὸ πλεονάζειν τοῖς ἀρθροῖς.

251. Πείθομαι. | Χαριέντως τοῦτο. οἶδα γάρ, φησὶν, ὅτι ϰ᾽ τέκνων προτιμᾷς τ᾽ Πλοῦτον.

252. Τί γὰρ ἄν τις. | Ἡ κατασκοπὴ αὕτη ἐστί. τί γὰρ ἄν τις πρὸς τὸ ὂν ἐγὼ φιλῶ μᾶλλόν σε μὴ σέ. τὸ ᾗ πείθομαι διὰ μέσου τῷ Πλούτῳ εἰρηται.

ACTUS SECUNDI
SCENA PRIMA.
CARION, CHORUS.

Car. O Qui sæpe eandem cum hero cepam manducâstis,
Viri amici, & populares, & laboris studiosi,
Ite,

ΣΧΟΛΙΑ.

κυῖα· ἰστέον δὲ ὅτι ὅτε τίθεται ἐν τοῖς ἀμοιβαίοις τ᾽ ὑποκριτῶν προσώποις ἐν ϲκηνῇ ϰῶλά τινα μὴ τὴν ᾠδὴν τ᾽ τίχων ᾗ αὐτῆ μέτρα ὄντα, ἢ ϰ᾽ ἕτερα, εὕρηϲ γὰρ ϰ᾽ ἕτως, ὁ τοιοῦτος ϲχηματιϲμὸς καλεῖται διπλῆ, διὰ τὸ μὴ τὴν συμπλήρωϲιν τούτων τὸ ϲημεῖον ἐντὸς τίθεϲθαι τ᾽ διπλῆς. ὅπερ τριγώνῳ πλαγίῳ ϲχήματι ἔοικεν τ᾽ βάϲεως μόνης λιπούϲης. μεθ᾽ ἣν, ᾠδὴ χορῶ παρῳδὸς ἀεὶ γίνεται, ἀλλὰ ϲπανίως. ὅτε δὲ ϰ᾽ τίθεται ϰῶλα τοιαῦτα, ἀλλ᾽ ἐν οἷς ἤρξαντο τίχοις. ἐν τούτοις οἱ ὑποκριταὶ παύονται, τὸ τοιοῦτο καλεῖται χορωνὶς, διὰ τὸ μὴ τὴν συμπλήρωϲιν τούτων, τὸ ϲημεῖον τ᾽ χορωνίδος τίθεϲθαι. ὅπερ γραμμή τίς ἐϲι βραχεῖα, καμπήν τινα ὑποκάτω ἔχουϲα. ἧς ἐχῆς ἀεὶ τίθεται κωμῳδὶς ἑτέρα χορῶ, ἐπιϲφραγίζουϲα οἷον τὰ ῥηθέντα. ἐν δὲ ταῖς ϲτροφαῖς ϰ᾽ ἀντιϲτροφαῖς, ϰ᾽ τῇ μιταξὺ τούτων

Ἴτ', ἐγκονεῖτε, ἀπόδιδ', ὡς ὁ κριὸς οὐχὶ μέλλει·
Ἀλλ' ἐς' ἐπ' αὐτῆς τ' ἀκμῆς, ἣ δεῖ παρόντας ἀμύνειν.

Χο. Οὐκ ἔν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι θερθύμως,
Ὡς εἰκός ἐστιν, ἀδενεῖς γέροντας ἄνδρας ἤδη.
Σὺ δ' ἀξιοῖς ἴσως με θεῖν, φεύγειν ταῦτα καὶ φεύσαι μοι,
Ὅτῳ χαίειν γ' ὁ δεσπότης ὅσους κέκληκεν ἡμᾶς.

Καρ. Οὐκ ἔν πάλαι δήπου λέγω· σὺ δ' αὐτὸς οὐκ ἀκούεις.
Ὁ δεσπότης γὰρ φησιν, ὑμᾶς ἡδέως ἅπαντας
Ψυχρῷ βίῳ καὶ δυσπόλῳ ζήσειν ἀπαλλαγέντας.

Χο.

ΣΧΟΛΙΑ.

τότων τ' ὑποκριτῶν ᾠδιόδη, παράγραφος τίθεται, ὡς Ἡφαιστίων φησίν. ἧς τὸ χεῖμα, γραμμή τις ἐστι βραχεῖα, ὥσπερ τινα στιγμὴν ὑπὸ τῶ ἄκρῳ ἔχουσα. δῆλα δέ ἐστι τὰ τοιαῦτα χεύματα, καὶ ὑπὸ τῷ βιβλίῳ κείμενα. μεθ' ὧν ἐστι καὶ ὁ ἀστερίσκος. ὃ τὸ σχῆμα ἀστέρι ἔοικεν. Ἡφαιστίων δέ φησιν ὅτι κατὰ τὴν Ἀριστοφάνους ἔκδοσιν ὁ ἀστερίσκος ἐπὶ ἐπιτρομετρίας ἐτίθετο μόνης. χρώμεθα δὲ φησι τῇ κορωνίδι ὑπὸ τοῖς δράμασιν κατὰ τρόπους τρεῖς. ἤτοι ὅταν τ' ὑποκριτῶν εἰπόντων τινὰ καὶ ἀπαλλαγέντων καταλείπῃ ὁ χορός. ἢ ἔμπαλιν. ἢ ὅταν μεταβασις ἀπὸ τόπου εἰς τόπον γίνοιτο δοκῇ τῆς σκηνῆς. τῇ δὲ παραγράφῳ, κατὰ πρόσωπα ἀμοιβαῖα, ἔν τε τοῖς ἐμβολικοῖς καὶ τοῖς χορικοῖς, μεταξὺ τοῦ τε στροφῆς καὶ τοῦ ἀντιστρόφου. ἐὰν μέν τοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι ὅτι πεπλήρωται ἡ στροφὴ, ἡ παράγραφος, ἐπιφερομένης ἄλλης στροφῆς ἐπὶ καὶ ἐφ' ἑκάστου κῶλου ἑδὲν ἧττον τίθεται. ἀλλὰ κεῖται καὶ ἡ ἴσως νενομισμένη διπλῆ. τοῦτο δὲ ἐὰν ἀντίστροφος ἐπιφέρῃ, ὡς ἐάν γε μεταβολὴ μόνον ᾖ στροφῶν, ἡ ἔξω βλέπουσα τίθεται.

Ταυτὶν θύμον. | Ἀντὶ τοῦ τὴν αὐτῆς πανίας μεταχόντες. θύμον γάρ ἐστιν εἶδος βοτάνης εὐτελοῦς. τινὲς δέ φασιν ὅτι παρῴδηται ὑπὸ τοῦ Ἡσιόδου. ὑπ' ὄσον ὑπὸ μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγα· ἔνθαρ. ἀντὶ

Ite, properate, festinate, quoniam cunctandi tempus non est:
Sed in ipso articulo est, quo vos præsentes oportet suppetias ire.

Cho. Quin ergo vides nos dudum progredientes prompto animo,
Quantum *fieri* par est ab imbecillis senibus jam viris.
Tu autem me forte currere vis priusquam mihi dixeris,
Quapropter herus tuus nos huc accersiverit.

Car. Atqui dudum sane dixi, tu autem ipse non audis:
Herus enim dicit, vos omnes suaviter
Victuros, hâc frigida miseraque vita liberatos.

Cho.

ΣΧΟΛΙΑ.

Ὦ, ὦ δίκαιαι καὶ ἐντελῆ θέλοντες ἰδεῖν διὰ τὸ μὴ ἐθέλειν ἀδικεῖν. ἅμα δὲ καὶ τὸ τραχὺ τῆς γῆς διαβαίνειν. ἑξετέρως δὲ τὸ θύμον λέγεται. καὶ βραχυπαραλήπτως, καὶ βαρυτόνως. σπεύδομεν γὰρ καὶ ὀξυνόμενον καὶ ἀρσενικῶς κλινόμενον, δηλοῖ τὴν ψυχήν.

255. Ἴτ', ἐγκονεῖτε. | Ἀντὶ δὲ συνεργεῖτε, ταχύνατε. ἐπεὶ εἰ τρίχοντες κόπους πληροῦσι. ἢ ἀπὸ τῶν ἀθλητῶν. οὐ κόνει γὰρ σκεύων τὸ ἔργον. ἢ ὅτι πρὸ δὲ τῶν κόπους ἄψασθαι νικῶσιν.

Ὁ καιρὸς οὐκ μέλλει. | Οὐ δὲ μέλλει καὶ ἀναβάλλεσθαι καιρός ἐστιν, ἀλλὰ δὲ σπεύδει καὶ κόνιν πέμπει.

257. Πάλαι προθύμως. | Σωφρόνως, δηλικῶς. τὸ δὲ πάλαι, οὐ μόνον βραδυτῆτος ἐπίρρημα, ἀλλὰ καὶ ταχυτῆτος.

259. Ἴσως μισεῖν. | Ἐξ ἴσου μοι τρίχει. τὸ δὲ λοιπὸν, οὐ ὑπερβατῶς. καί τοι ἐξῆν εἰπεῖν καὶ ταῦτα πρὶν φράσαι μοι.

261. Οὐκ ἦν πάλαι δῆπου. | Σύνδεσμος ἀποδηλικός. τοὺς γέροντας δὲ παίζει μηδὲν εἰπὼν καὶ ὑποκρίνεται εἰσηκέναι ἀφ' ὧν αὐτῶν τὰ ὦτα γήρᾳ πεπηρῶσθαι. ἐπιγελᾷ δὲ τῷ ἀμυδρῷ τῶν αἰσθήσεων ἀφ' οὗ γῆρας. ἄλλως. δέον ἔλεξε εἰπεῖν πρὸς τὸ πάλαι, ὃ δὲ λέγω εἶπε, δηλονὸς ὡς οὐχ ἅπαξ, ἀλλὰ πάλαι καὶ νῦν λέγω. παίζων δὲ ὁ θεράπων τοῦτό φησιν. οὐ γὰρ προεῖπεν αὐτοῖς τίνος χάριν αὐτοὺς καλεῖ.

263. Ψυχρᾷ βίᾳ. | Ἦγεν ταλαιπώρως, ἢ ἐπιμεμφόμενος τῷ γήρᾳ, ταῦτά φησιν ἀντὶ δὲ ἐντελῶς. τὸ δὲ ἐξῆς, ὑμᾶς ἅπαντας ἀπαλλαγόντας ψυχρᾷ καὶ δυσκόλῳ βίῳ ζῆσθαι.

266. Ῥυπῶντα.

Χο. Ἔστιν ὅ δή τί; κἀ πόθεν τὸ πρᾶγμα τοῦθ' ὃ φησιν;

Καρ. Ἔχων ἀφικται δεῦρό πρεσβύτιόν τιν', ὦ πάνυ σοφοί,
Ῥυπῶντα, κυφόν, ἄθλιον, ῥυσόν, μαδῶντα, νωδόν,
Οἶμαι δ' νὴ τὸν Ἡρακλέα, κἀ ψωλὸν αὐτὸν εἶναι.

Χο. Ὦ χρυσὸν ἀγγέλλας ἐπῶν, πῶς φῄς; φέρε σὸν μοι·
Δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.

Καρ. Πρεσβυτικῶν μὲν ὧν κακῶν ἔγωγ' ἔχοντα σωρόν.

Χο. Μῶν ἀξιοῖς φενακίσας ἡμᾶς ἀπαλλαγῆναι Ἀζήμιον, κἀ ταῦτ' ἐμοῦ βακτηρίαν ἔχοντος;

Καρ. Πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον εἰς τὰ πάντα Ἡγεῖσθε

ΣΧΟΛΙΑ.

266. Ῥυπῶντα. | Αὐχμοῦ μεστόν. ἔστι καὶ ῥυπόω, οὖ. καὶ ῥυπάω. ὡς ἐλαῦθα, καὶ ῥυπάνω.

Κυφόν. | Κυρτόν. ῥυσὸν δέ, ῥυτίδας ἔχοντα.

Μαδῶντα. | Γράφεται καὶ μυδῶντα, καὶ μαδῶντα. καὶ μυδῶντα μέν, ἀντὶ τοῦ, δυσώδη ἀποπέμποντα, μαδῶντα δέ, ἀντὶ τοῦ, κόμην μὴ ἔχοντα, φαλακρόν, καθόλου τρίχας μὴ ἔχοντα.

Νωδόν. | Ὀδόντας μὴ ἔχοντα, ἀφ' οὗ τὸ γῆρας. ὁ μέντοι ἄφωνος αὐθὶς δὲ ὁ Πλοῦτος.

267. Ψωλόν. | Ἀκτήμονα, κατὰ παρίκλασιν τοῦ μορίου. Ψωλὸς κατὰ Σωΐδαν, ὁ λιποδέρμων, ὀξυτόνως. οἱ δὲ Αἰγύπτιοι ψωλοὶ λέγονται εἶναι, τουτέστι περιτετμημένοι.

268. Ὦ χρυσὸν ἀγγέλλας ἐπῶν. | Ἀττικὴ ἡ σύνταξις. ἀντὶ τοῦ ὦ πλοῦτον ἐκ τῶν ἐπῶν ἀγγέλλας, ἢ ἀντὶ τοῦ ὦ τιμιώτατον εἰπὼν λόγον.

269. Δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα. | Ὡς πολύπειροι συνῆκαν τὴν τοῦ πλούτου σὺν μύθοις ὕστερον ἔχουσαν ἀπογραφήν. κυρίως δὲ σωρὸς, τὸ ἐκ μικρῶν σπερμάτων συναγόμενον πλῆθος. παρὰ τὸ σῶ, ὅ ἐστι σώζω, σωάγω. σορὸς δὲ θηλυκῶς λεγόμενος τάφος, καὶ λεγόμενος ὁ μικρός. ἐπὶ δὲ τῶν καρπῶν ἀρσενικῶς ἐπὶ λεγόμενος μο-

Cho. Quid autem hoc ſibi vult? aut unde hoc quod dicit *in mentem illi venit?*

Car. Huc venit modò ſecum ferens ſenem quendam, O ruſtici,

Squalidum, gibboſum, miſerum, rugoſum, calvum, edentulum,

Credo quoque, per Cœlum, etiam verpum illum eſſe.

Cho. O aurea mihi verba nuncians! quid ais? dic mihi rurſum:

Nam præ te fers quaſi veniret pecuniarum cumulum ſecum ferens.

Car. Senilium quidem malorum cumulum habere ego autumo.

Cho. Cenſen' te, qui ſic nos ludificaris, evaſurum Impunè, præſertim cùm ego ſcipionem geſtem?

Car. Omninò igitur hominem me talem ad hæc omnia natura comparatum

Exiſtimatis,

ΣΧΟΛΙΑ.

ω μιγάλω. καλῶς ἔν ἀπὸ τ καρπῶν φαίνον) εἰρηκότες. οἱ γ ἐνθλιῶντες, κ πλέυσιοί εἰσιν. ἢ ὡς γεωργοὶ, ταύτ κέχρλω) τ παραβολ.

270. Πρεσβυτικῶν μ ἔν. | Διὰ τὸ τ γήρᾳ ἔπεσθ ταῦτα τὰ συμπλώματα. ἀπὸ κοινῦ ὁ τὸ δηλῶ.

271. Φενακίσας. | Φενάκη τὸ προκόμιον, οἷον ᾧ φαινομέν κραν. τὸ ἄκος κ σκέπη. ἄλλως δὲ, κεφαλῆς τριχῶν πινομένης ἄκος. φενάκη δὲ κυρίως ἡ προσθετὴ ἐπιτηδυτὴ κόμη ἀπὸ τ κατερρυτιδωμένων γυναικῶν, κ ὕστερον ἀπαλυσῶν ἀφ τὸ ἐπείσακτον τ κόμης.

272. Ἀζήμιος. | Ἀβλαβής. κυρίως δὲ ζημία ἡ τ ζωῆς μείωσις. βακτηρία δὲ ἤτοι ἡ τὴν βάσιν ποιοῦσα ἑδραίαν, ἢ βατηρία τίς ἐστιν οἱονεὶ βάσεως αἰτία, κ ἐν πλεονασμῷ ᾧ κ. πάντες γ οἱ γέροντες ἐν ταῖς Ἀθήναις βακτηρίας ἐβάσταζον. ἦν δὲ προφρικὸς ἀσθενεῖς γέροντας ἤδη. εἶχον δὲ ἢ διὰ τὸ ἐπιρρίπτεσθ αὐτῇ, ἢ διὰ τὸ ἀμύνεσθ ταύτῃ μὴ δυναμένους χερσί.

273. Πάντως γάρ. | Ἀληθῶς γ νομίζετέ μοι τοιοῦτον ἄνθρωπον φύσ ἐις ἅπαντα κ ὑγιᾶ εἰπεῖν.

Ἡγεῖσθέ μ' εἶναι οὐδὲν ἂν νομίζεσθ' ὑγιὲς εἰπεῖν;
Χρ. Ὡς σεμνὸς εἶ πεπίστευσαι. αἱ κνῆμαι δέ σου βοῶσιν
Ἰὼ, ἰώ· τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.
Καρ. Ἐν τῇ σορῷ γυνὶ λαχὸν τὸ γράμμα σε
Σὺ

vid. Scholia in loc: δικάζειν.

ΣΧΟΛΙΑ.

276. Τὰς χοίνικας καὶ τὰς πέδας. | Ἐν τῷ εἰδικῷ καὶ τὸ γυνικὸν ἐπήγαγεν. αἱ μὲν χοινικίδες, πέδαι τινές εἰσιν, χαῦνες δὲ πᾶν περιφερές. διὰ καὶ τὸ μέτρον χοῦς καλεῖται.

277. Ἐν τῇ σορῷ γυνὶ λαχόν. | Παρὰ τοῖς Ἀθηναίοις δίκαι ἦσαν φυλαί. ἔθος ἦν ἀπὸ πασῶν τῶν φυλῶν, δικαστὰς καθίζειν. εἶτα ἀπὸ μιᾶς ἑκάστης ἐλάμβανον ἄνδρας πέντε τοὺς ἐπισημοτέρους. καὶ πάλιν ἐκ τῶν πέντε τὸν ἕνα τὸν κλήρῳ λαχόντα ἐποίουν δικάζειν. ἀντὶ δὲ εἰπεῖν, ἦν ἐν τῷ δικαστηρίῳ πληρωθὲν τὸ γράμμα καὶ τὸ ψήφισμα, ὅ ἐστι κλῆρος, δικαστὴν δικάζειν σὲ καὶ ἤδη καθίζειν, ὡς πρὸς γέροντα παρ' ὑπόνοιαν πυίζειν. ἦσαν δὲ ταῖς Ἀθήναις πολλαὶ καὶ δικαστήρια. καὶ ἐν τισι μὲν, ἐδίκαζον περὶ φονικῶν πραγμάτων. ἐν τισι δὲ περὶ δημοτικῶν. καὶ ἕκαστον δὲ τούτων εἶχεν ἐν τι τῶν στοιχείων εἰδικὸν ὄνομα. εἶον, ἦν τι τῶν δικαστηρίων λεγόμενον ἄλφα. ὁμοίως ἄλλο λεγόμενον βῆτα, ἄλλο γάμμα. καὶ ἑξῆς τὸ δ καὶ τὸ ε, καὶ ἕως τοῦ κ. δίκαι δὲ ἦν τὰ δικαστήρια ἐν Ἀθήναις. καὶ πρὸ θυρῶν δὲ ἑκάστου δικαστηρίου ἐγέγραπτο πυρρῷ βάμματι τὸ στοιχεῖον, ᾧ τινι τὸ δικαστήριον ἀπεμάζετο. ὅσοι δὲ δικασταὶ ἦσαν ἐν Ἀθήναις, ἕκαστος καθ' ἕκαστον δικαστήριον εἶχε δέλτον, τουτέστι πινακίδιον, ἐν ᾧ ἐγγεγραμμένον ἦν τὸ ὄνομα αὐτοῦ καὶ τοῦ δικαστηρίου. εἶχε δὲ καὶ ῥάβδον ἅμα τῷ πινακιδίῳ. καὶ ἐν αὐτῇ δὲ τῇ ῥάβδῳ ἦν τὸ ὄνομα τοῦ δικαστηρίου ἐγγεγραμμένον, ὅτι ἂν συνίοιεν καιρὸς τοῦ δικάζειν, ἤρχοντο πάντες οἱ δικασταὶ εἰς τὴν ἀγοράν. κἀκεῖ κλῆρος ἦν ἕκαστον. καὶ ὃς τις ἂν κλῆρον ἀναλῃτο ἔχοντα τὸ ω, ἀπήρχετο εἰς τὸ α δικαστήριον. ὁμοίως εἰς τὸ β καὶ τὰ ἑξῆς. ἀπήρχετο δὲ καὶ πρῶτον μὲν ἐδείκνυε τῷ κήρυκι τοῦ δικαστηρίου τὸν κλῆρον τοῦ στοιχείου. ὁ δὲ κήρυξ λοιπὸν ἐδίδου αὐτῷ τὸ πινάκιον αὐτοῦ καὶ τὴν ῥάβδον, εἶτα ὕστερον ἐδίκαζεν. εἰ δέ τις δικαστὴς εἰσὶν μὴ πληρωθεὶς εἰς τὸ δικαστήριον, διαφόρως ἐζημιοῦτο. ἄλλως. ἔρχεται ἕκαστος εἰς τὸ πινάκιον ἔχων ἐπιγεγραμμένον τὸ ὄνομα αὐτοῦ καὶ πατρόθεν καὶ τοῦ δήμου, καὶ γράμμα ἕν τι μέχρι τοῦ κ. ἀφ' οὗ τὸ παλαιὸν δέκα φυλαὶ εἶναι Ἀθήνησι. διῄρηντο γὰρ κατὰ φυλάς. εἶτα οἱ θεσμοθέται κατὰ φυλὴν ἕκαστον, καὶ ἐνδέκατον ὁ γραμματεὺς ἐκλήρουν τὰ γράμματα μέχρι τοῦ κ. καὶ τὸ λαχόντα ἴσα τὸ ἀριθμὸν τοῖς μέλλουσι πληροῦν δικαστηρίοις ὑπηρέτης φέρων ἐτίθη καθ' ἕκαστον

Existimatis, neque quicquam sani posse dicere putatis?

Cho. ~~Quantum gravitatis præ se fert hic verbero?~~ Quam se-
crura autem tua clamant rio vultu
Heu, heu, dum vincula & compedes expetessunt. hæc dicit
Car. In tumulo jam litera tua judicandi munus sor- perditissi-
tita est: mus ille
Tu ——?

ΣΧΟΛΙΑ.

ἅπαξ δικαστήριον ἦν. εἶτα πάλιν ἀπεπληροῦντο οἱ τὰς εἰληχότα γράμματα ἔχοντες, τίνες δικάσουσι καὶ τίνες οὔ. τοῦτο οὖν ἐστι ὃ λέγει, ἀμείψας τὸν γελοῖα χάριν. ἀνθυπήλαξε γὰρ εἰπὼν σὺ τῇ σορῷ, δίκη σὺ τῇ ἡλικίᾳ. ἐγράφοντο δὲ, ὅτι ἐπεὶ ἦν πέντε δικαστήρια ἐπληροῦντο πέντε γραμματεῖς ἀπὸ τοῦ α ἕως τοῦ ε. εἶτα τὸ πρῶτον ἀνεσείχθη, ἐπὶ τοῦ α προετίθετο δικαστηρίου, ὡς ἂν ἔτυχεν, καὶ οἱ δικάζοντες ἐπληροῦντο εἰς οἷον ἅπας· λάχοι δικάσαι. τοῦτο δὲ ἐγίνετο ἵνα μὴ ἀμφιβείρη τις τὸ δικαστήριον ἀκρίτως ἐρχομένων τινῶν χωρὶς κλήρου εἰς τὸ δικαστήριον δικάσαι. τὸ δὲ, ὁ Χάρων τὸ ξύμβολον δίδωσι, τοιοῦτόν ἐστι. τοῖς λαχοῦσι δικάσαι εἰσιελθοῦσιν ἑκάστῳ σύμβολα δίδονται δηνάρια παρὰ τοῦ ἐπὶ τούτων εἰληχυίας ἀρχῆς, ἵνα ἔχοντες καὶ τοῦτο προφέροντες λαμβάνωσιν τὸν δικαστικὸν μισθόν. εἰπὼν οὖν σορὸν, ἐπήγαγε Χάρων. δίκη δὲ εἰπεῖν ὁ ἄρχων τὸ σύμβολον δίδωσιν, ὅς ἐστι ὁ μισθὸς ὁ δικαστικὸς, εἶπεν ὁ Χάρων ὡς γερόντων αὐτῶν καὶ μισθοφορούντων. ἄλλως. δίκη ἔτους εἰπεῖν ὅτι καιρὸς ἦλθεν ὑμᾶς πλουσίους γενέσθαι, ὑμεῖς δὲ μέλλετε. ὁ δὲ οὐκ ἔτους εἶπεν, ἀλλ' ἠθέλησαν αὐτὸς σκῶψαι ὡς γέροντας ὄντας καὶ ἐγγὺς τοῦ θανάτου. σκώπτει δὲ ὑ καθαιρῶν, ἀλλὰ διὰ τοῦ ἔθους ὁ Ἀθηναῖοι εἶχον περὶ τὰς δίκας, ἵν' ᾖ τοιοῦτο. δίκαι δικαστήρια ἦσαν παρ' Ἀθηναίοις, τὸ μὲ φόνου, τὸ δὲ μοιχείας, τὸ δὲ ἑτέρου τινός. ὑσῶν δὲ καὶ ἐκ φυλῶν, ἐξελέγοντο ἐκ ἑκάστης φυλῆς ἕνα ἄνδρα, καὶ ἔταττον αὐτοὺς εἰς τὰ τοιαῦτα δικαστήρια κριτὰς εἶναι. πλὴν ἐγραφον πρότερον τὰ τῶν ἀνδρῶν ὀνόματα, καὶ κλήρου γινομένου, ὁ μὲ εἰς τοῦτο, ὁ δὲ εἰς ἐκεῖνο δικάζειν ἐλάμβανεν. ἐδίδου δὲ ὁ κήρυξ αὐτοῖς ῥάβδον, ἧτις ἦν σύμβολον τοῦ δικάζειν, ἵνα ἅπας· καθ' ἑσπέραν λιπαρεῖσθαι τῷ Πρυτάνει τὴν ῥάβδον τριφόλιον λαμβάνων μισθὸν τὸ δικάσειν. ἀντὶ τοῦ εἰπεῖν οὖν τῷ δικαστηρίῳ τὸ γράμμα σοῦ λαχὼν δικάζει, καὶ ἀφ' τοῦτο καὶ ὁ κήρυξ δίδωσι σοι τὸ σύμβολον, ὁ δὲ σκώπτων αὐτοὺς ὡς γέροντας καὶ ἐγγὺς θανάτου ὄντας φησὶν οὐ τῇ σορῷ καὶ ὁ Χάρων. ἔστι δὲ ἡ σύνταξις σολοικοφανής. λαχόντος γὰρ τοῦ γράμματός σου ἔφελεν εἰπεῖν. ὁ δὲ ἐνθάδε ἔθηκεν ἀντὶ γενικῆς, Ἀττικῶς ἔθει χρησάμενος. ἔθος γὰρ τοῖς Ἀττικοῖς ἔστιν ποιεῖν, ἐπὶ τοῦ ἐνεστῶτος μετοχῶν. ἔστι οὖν ἡ σύνταξις καὶ ἡ ἀφέλεια τοῦτο αὐτή. λαχόντος τοῦ γράμματός σου δικάζει σὲ οὐ

Σὺ δ' ὁ βαδίζων· ὁ δὲ Χάρων τὸ ξύμβολον δι-
δωσιν.

Χρ. Διαῤῥαγείης· ὡς μόλθων εἶ, καὶ φύσει κά-
θαλθος,
Ὅς τις φενακίζεις. φέρε σοι δ' ὅπως τέτληκας
ἡμῖν,
Ὅτῳ χαίρειν μ' ὁ θεσπότης ὁ σὸς κέκληκε δεῦρο.
Οἱ πολλὰ μοιδιόωντες, ὅτι ὕσπις χολῆς, πρὸ-
θύμως
Δεῦρ' ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶν-
τες.

Καρ. Ἀλλ' ὅτι. ἔτ' ἂν κρύψαιμι. † Πλοῦτον
ἄγε, ὦ ἄνδρες, ἥκει
Ἄγων ὁ θεσπότης. ὃς ὑμᾶς πλουσίους ποιήσει.
Χρ. Οὕτως γάρ ὄζει πλουσίοις ἅπασιν ἡμῖν
εἶναι; Καρ.

ΣΧΟΛΙΑ.

τῇ σορῷ. ἄγων οὖν τῷ δικαστηρίῳ, σὺ δὲ βαδίζεις, ὁ δὲ Χάρων, ἄγων ὁ κύριός σοι τὸ σύμβολον ὃ κριτὴν εἶναι, τουτέστι τὴν ῥάβδον. σὺν δὲ αἰτίᾳ καὶ τὸ κύριε Χάρων ὠνόμασεν. ὁ γὰρ Χάρων κατὰ ἀναγραμματισμὸν ἄρχων λέγεται.

278. Ὁ δὲ Χάρων τὸ ξύμβολον. | Περὶ δὲ παραδιδομένου τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον συμβόλου, Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω γράφει. τοῖς μὲν δικαστηρίοις χρῶμα ἐπιγέγραπται ἐφ' ἑκάστῃ ἐπὶ τῷ σφηνίσκῳ τῇ εἰσόδῳ. ὁ δὲ λαβὼν τὴν βακτηρίαν βαδίζει εἰς δικαστήριον τὸ ὁμόχρων μὲν τῇ βακτηρίᾳ, ἔχον δὲ τὸ αὐτὸ γράμμα ὅπερ ἐν τῇ βακτηρίᾳ. ἐπιδοὺς δὲ εἰσέρχεται παραλαμβάνων σύμβολον δημοσίᾳ παρὰ τῶν εἰληχότων ταύτην τὴν ἀρχήν. ἀντὶ δὲ τούτου ὁ κήρυξ ἢ ὁ δῆμος, ἀπέπεμψε πρὸς τὴν σορόν,

ἀργὸν μόθων. | Εἶδος αἰσχρᾶς καὶ δυλοπρεποῦς ἀρχήσεως. οἱ δὲ Δᾶλοι τοὺς παρατρεφομένους τοῖς ἐλευθέροις παῖδας μόθωνας καλοῦσιν. ἔστιν. μόθων, φλύαρος, φορτικὸς, ἄτιμος, αἰσχρός. λέγουσι δὲ τοὺς Ἀθηναίους χθραισαμένους τοὺς μόθωνας δουλικῇ καὶ ἀγεννεῖ μάστιγι παρασῆσαι τύχῃ. οὗτοι καὶ Ἀθηναῖοι μόθωνες. ἢ ἀπὸ Μόθωνος

Tu vero non abis. Atqui Charon tibi Symbolum dat.

Cho. Disrumparis: ut molestus es, & ad vafra maleficia natus,

Qui sic nos ludos facis, dicere vero nobis nondum ~~dignatus es~~,

Quamobrem herus tuus me huc accersiverit.

Qui multis enecti laboribus, cum nullum erat otium, prompte

Huc advenimus, multarum ceparum radices prætergressi.

Car. Aut non celabo diutius; Plutum enim, ô viri, venit

Secum adducens herus, qui nos divites reddet.

Cho. Num reverà igitur licet nos omnes fieri divites?

Car.

ΣΧΟΛΙΑ.

θωνός τινος αἰχροποιοῦντος καὶ ἀεὶ ἐν τοῖς πότοις ῥεχυμένου. ἢ ἀντὶ τοῦ ἀνόητος. ἄλλοι δὲ λέγουσι. ὀλιγοπρεπεῖς, σπερμολόγους.

Κόβαλος. | Κόβαλοι δαίμονές εἰσί τινες σκληροὶ περὶ τὸ Διόνυσον ἀπατεῶνες.

283. Πολλῶν θύμων. | Τὸ πολλῶν θύμων ῥίζας ὑπερῶντες τοιοῦτον ἔχει τὸ νοῦν. οἱ τὴν Ἀττικὴν οἰκοῦντες πένητες ἐπεὶ μὴ εἶχον τὰς ἐκ τῶν σπερμάτων τροφὰς, ἀνεπιτήδειος ἦν ὁ τόπος εἰς γεωργίαν κατάξηρος ὤν, ἥσθιον θύμους, οὓς οἱ κοινοὶ βολβοὺς ἢ ἀγριοκρόμμυα φασίν. λέγει γοῦν ὁ χορὸς τῶν πενήτων ὅτι ἡμεῖς πολλὰ κοπιάσαντες, καὶ ταῦτα σὺν ὕσπι ἀδείας ἡμῖν, ἤλθομεν μετὰ προθυμίας ὧδε.

Διεκπερῶντες. | Ἀντὶ τοῦ παρορῶντες καὶ παρατρέχοντες ὑπὸ τὴν ἄγαν σπουδῆς, καὶ αὐτὰς δὴ τὰς τῶν θύμων ῥίζας πολλῶν ὄντων, ἃς ἐξ ἔθους εἰχόμην συλλέγειν.

285. Ἄγων ὁ δισπότης. | Ἄγω τὸ φέρω, τὸ ὁδηγῶ. ἄγω νομίζω τὸ θυμῶ καὶ τὸ σωλῆνα, ἀφ' οὗ τὸ κατέαξαν ἀντὶ τοῦ σωέτριψαν.

Μίδαις

Καρ. Νὴ τὸν Θεὸν, Μίδαι μὲν ἦν, ἣν ὥτ
ὄνου λαβέτε.

Χρ. Ὡς ἥδομαι, καὶ τέρπομαι, καὶ βέλομαι χρεῦσαι
τῷ ἡδονῇ· εἴπερ λέγεις ὄντως σὺ ταῦτ' ἀληθῆ.

Καρ. Καὶ μὴν ἔγωγε βεβλήσομαι, Θρεπτιανελὸ,
τὸ Κύκλωπα
Μιμεῖσθαι, καὶ τὴν πρόβατον ὠδὶ παρεσταλόων,
Ὑμᾶς ἄγειν. ἀλλ' εἶα τέκνα δαμὶν ἐπαναβρῶντες
Βλησχώμεθα τὸ προβατίων Αἰγῶν

ΣΧΟΛΙΑ.

287. Μίδας μὲν ἦν. | Μίδας βασιλεὺς ἦν Φρυγίας πλουσιώτατος, ὥστε ὄνου ἔχει. τοῦτο δὲ παροιμιωδῶς ἐλέγετο ἐπὶ τούτῳ, ὅτοι ὅτι πολλὰς ἀταξίας εἶχεν, ἢ ὅτι κώμῳ Φρυγίας κατέχει ὄνος ὥστα ἔφη ἐλέγετο. λέγεται δὲ τούτῳ τὸ Παπιωλὸν χρυσὸν ῥεῦσαι. λέγει δὲ αὐτὸν πάλιν ἐύξοος ὥστε πάντα γανίοις χρυσὸν, ὃν ἂν ἅψαιτο. ἢ ἐπεὶ ἄν. μαθὼν αὐτὸ τὸ ἄδων ζῶν πλὴν μύος. καὶ Μίδας. ὁ φόδας ὠτακουστὰς εἶχεν. οἱ δὲ φασιν, ὅτι ψίξας ποτὲ τὸ Διονυσον ὁ Μίδας, μετεδλήθη εἰς ὄνον. ἢ ὅτι ὕπνος τῷ Διονύσου παριὼν, ἐδίκασε, διὸ ὀργισθεὶς ὁ θεὸς, ὥστε ὄνε αὐτῷ ἐφύτευσεν. οἱ δὲ ὅτι ὥστα μεγάλα φύσει εἶχεν. ἄλλως. ὅτε ὁ Μίδας σφόδρα πλουσίος ἦν. ὥστε καὶ ὡς φασι τοὺς θεοὺς, ὅ, τι ἂν εἰς χεῖρας λάβοι χρυσὸν γίνεσθαι. καὶ τυχὼν τοῦ οἴνου, λιμαγχονηθεὶς ἀπέθανεν. ὅτε καὶ ἐλάμβανεν εἰς τροφὴν εἰς χρυσὸν μετεδάλετο. μυθεύονται δὲ αὐτὸν καὶ ὥστα ὄνε ἔχειν, ὅτι τὰ φ' ἁπλῶς αἰσθητήρια μέγιστα εἶχεν. οἱάπερ ὄνος. τὸ δ' ἀληθὲς, ὅτι πολλὰς εἶχεν ἀταξίας, ὡς παντὶ ἔχειν γεώσκειν, τὰ δὲ πρὶ αὐτοῦ χώρας λεγόμενά τε καὶ πραττόμενα. τὸ δὲ μὴν ὄν. ἀντὶ τοῦ δέ. ἐμφαίνει δὲ ἐντεῦθεν, ὡς ἐκ ἁπλῶς πλουσίους ποιοῖ. Μίδας δὲ οἱονεὶ ὑπερβολικῶς πλουσίους, οἷος ὁ Μίδας.

290. Θρεπτιανελὸ, τὸ Κύκλωπα. | Ἡ τοῦ Κύκλωπος ἱστορία δηλοῖ, ὅτι παιδὶν ὢν καὶ λύρᾳ κατέχων, ἠγωνίζετο τοῖς αὐτῷ ἑρίμμασι, καὶ ὅτι αὐτὸν Ὀδυσσεὺς ἐτύφλωσεν. ὅστερ ὢν σοφὸς, ὥτω καὶ ὢν πρὸς τὰς γέροντας, ᾄδων καὶ πορευόμενος μετ' αὐτῶν. ἔτι δὲ τὸ Θρεπτιανελὸ τὸ λύρας ἀπίχημα. καὶ ὁ συνάπτεται πρὸς τὴν σύνταξιν, ἀλλὰ διότι καὶ αὐτὸς ᾠδὶ, τούτῳ χάριν εἰδέναι. οἱ δὲ λέγοντες τὸ Θρεπτιανελὸ Κύκλωπα, ἤγουν τὸ ᾄδοντα τὸ Θρεπτιανελὸ καὶ διὰ τοῦτο καὶ

These verses are taken from a Tragedy of Philoxenus, called the Cyclops, or the Loves of Philoxenus and Galatea. the word Thettaleno, in Cario's singing, was the beginning of one of the Cyclops Airs, in this piece of Philoxenus. as we are informed by the Scholiast. ———

Car. Etiam, ita me dii ament, Midas profecto, ſi aures aſininas vobis habeatis.

Cho. Ut lætor, & delector, & ſaltare geſtio
Præ gaudio, ſiquidem hæc vera omnino prædicas!

Car. Et profecto ego percupio, threttanelò, Cyclopem
Imitatus, atque pedibus hunc in modum tripudians,
Vos ducere. *At agite filioli frequenter acclamantes,*
Balanteſque ovium

Capro-

ΣΧΟΛΙΑ.

κὴ τὸ λω μιγιθύοντες, ἀμαθεῖς. τοῦτο δὲ ὁ Κύκλωπ Φιλοξένυ ἐςί. πεποίηκε γὰρ ὕτ τ Κύκλωπα κιθαρίζοντα. ἄλλως τε κὴ τὸ μίτρον συςέλλ Θέλ τὴν λο συλλαβήν. Δ|ὰ δὲ τ εἰπεῖν κὴ τοῖν ποδοῖν ὠδὶ παρενσαλίνων, ἔδ|ξεν ὅτι πρὸς τὴν πυγὴν αὑτὰς τῷ ποδὶ ἔτυψεν. τὸ δὲ ἐξῆς, κὴ μὴν ἐγὼ βυλήσομαι ὑμᾶς ἄγ|ν. Δ|ασύρ| δὲ Φιλόξενον τ τραγικόν. ὃς εἰσηγαγε κιθαρίζοντα τ Πολύφημον. τὸ δὲ Θρετ|ανιλὸ, μέλ κὴ κρεμάτιόν ἐςι. τὸ δὲ ἀλλ' εἶα τίκια θαμὶν ἐπαναβοῶντες, ὁ τ Κύκλωπος Φιλοξένυ ἐςί.

Θρετ|ανιλό. | Τὸν κιθαρῳδὸν, ἡ γὰρ κιθάρα κρεμαμένη τοιοῦτο μέλ ποιεῖ. Θρετ|ανιλό. Θρετ|ανιλό. ἄλλως. Φιλόξενον τὸ διθυραμβοποιὸν ἢ τραγ|διδάσκαλον Δ|ασύρ|. ὃς ἔγραψε τ ἔρωτα τ Κύκλωπ τ ἐπὶ Γαλατείᾳ εἶτα κιθάρας ἦχον μιμούμ ὁ τῷ συγγράμματι, τοῦτό φησι τὸ ῥῆμα Θρετ|ανιλό. ὁπεῖ γὰρ εἰσάγ| τὸν Κύκλωπα κιθαρίζοντα τὴν Γαλατείαν. ἐπεὶ ἂν ἔφη ὁ χορὸς, ἥδομαι κὴ βύλομαι χορεῦσαι, ὁ οἰκέτης φησὶ, κὴ ἐγὼ βυλήσομαι χορεύ|. κὴ ἅμα ἀναφωνεῖ τὸ μέλ ὁπεῖνο. Φιλόξεν δὲ ὁ διθυραμβοποιὸς ὁ Σικελίᾳ ἦν παρὰ Δωριεῦσι. λέγυσι δὲ ὅτι ποτὲ Γαλατείᾳ τινὶ παλλακίδι Διονυσίυ προσέβαλε. κὴ μαθὼν Διονύσιος, ἐξώρισεν αὐτὸν εἰς λατομίαν. φύγων δὲ ὁπεῖθεν ἦλθεν εἰς τὰ μέρη Κυθήρων. κὴ ὁπεῖ δράμα τὴν Γαλάτειαν ἐποίησεν ὁ ᾧ εἰσήνεγκε τ Κύκλωπα ἐρῶντα τ Γαλατείας, τοῦτο δὲ αἰνιττόμ|ος εἰς Διονύσιον. ἐπείκασι γὰρ αὐτὸν τῷ Κύκλωπι, ἐπεὶ κὴ αὐτὸς ὁ Διονύσιος ὁσὰ ἀξυδέρκ|.

293. Βληχώμ|οι. | Ποιᾷ φωνῇ χρώμ|οι. βληχᾶαζ γὰρ τὸ τὰ πρόβατα ποιᾷ φωνῇ χρᾶαζ. τὸ δὲ ἐξῆς βληχώμ|οι μέλη κινάδρα δὲ, ἡ δυσωδία τ μαχαλῶν ἢ τ αἰγῶν κιναδρώντων ἢ κακὴν δυσωδίαν ἐχόντων, ἢ τ δυσοσμίαν ποιόντων ὁσὰ τ μυαχαλῶν. κινάδρα δὲ κυρίως ἡ τ κ νῶν βρῶσις. κινοδρά τις ἔσα. ἀλλ' εἰ τοῦτ' ἦν ἐγράφετ' ἂν διὰ τ υ ψιλῆ.

Αἰγῶν τε κιναβρώντων μέλη,
Ἔπειθ' ἀπεψωλημένοι, τράγοι δ' ἀκρατιεῖσθε.
Χο. Ἡμεῖς δέ γ' αὖ ζητήσομεν, Θρεττανελὸ
τὸν Κύκλωπα 296
Βληχώμενοί, σε τετονὶ πεινῶντα καταλαβόντες,
Πήραν ἔχοντα, λάχανά τ' ἄγρια δεδεμένα, καὶ
κεφαλὰς κναπαλῶντα,
Ἡγεμόνιον τοῖς σφαγατίοις,
Εἰκῇ ἢ καταδαρθέντα που, 300
Μέγαν λαβόντες ἡμεμόνιον σφηκίσκον, ἐκτυφλῶσαι,
Καρ. Ἐγὼ ἢ τὼ Κίρκω γε, τὼ τὰ φάρμακ' ἀνακικῶσαν,

Ἡ

ΣΧΟΛΙΑ.

295. Τράγοι δ' ἀκρατιεῖσθε. | Τὸ ἑξῆς, τράγοι δ' ἀπεψωλημένοι ἀκρατιεῖσθε. λείπει τὸ ὡς. ὡς τράγοι. τὸ ἢ ἀκρατιεῖσθε ἀντὶ τοῦ φάγεσθε. ἀκρατισμὸς γὰρ λέγεται τὸ πρωϊνὸν φαγεῖν. ἢ ἀκρατῆ πράσσετε. ἐπεὶ δὴ μὴ τὴν συνουσίαν οἱ τράγοι λείχουσι τὰ ἑαυτῶν αἰδοῖα. ἢ λείχετε τὸ ἄκρον τοῦ αἰδοίου.

298. Πήραν ἔχοντα. | Καὶ γὰρ παρὰ τῷ Φιλοξένῳ πήραν ἔχων εἰσῆλθε. ταῦτα δέ φησι καὶ τὰ ἑξῆς ὡς καὶ τοῦ τυφλώσεως αὐτῷ ἐν ποιήματι ὄντος.

Καὶ κραιπαλῶντα. | Ἀντὶ τοῦ ἐκ μέθης ἀτακτοῦντα, μεθύοντα, ἀπὸ τοῦ τῆς καιρίαν σφάλλεσθαι. ἄλλως. κραιπάλη. οἱονεὶ καραπάλη, ἐκ τοῦ κάρα, καὶ τοῦ πάλλω, τὸ δινεῖν, ὅτι ἡ οἴνωσις τὴν κεφαλὴν τῶν μεθυόντων πάλλει, κινεῖ, καὶ δινεῖ.

300. Εἰκῇ. | Μάτην. καὶ ὡς ἔτυχεν. ἢ ἀκαίρως, ὅθεν καὶ εἰκαῖος ὁ μάταιος.

Καταδαρθέντα. | Ὡς ἔοικε καταπεμπεθείσα τις ὡς τὸν Κύκλωπα ὑπνωτῖται. τοῦ δὲ οἰκέτης μεταθέντος τοῦ Κύκλωπος, οἱ γέροντες ἐπάγουσιν ἃ ἔπαθε παρὰ τοῦ Ὀδυσσέως ὁ Κύκλωψ.

301. Ἡμεμόνιον σφηκίσκον. | Ἐπιτετήδευται ἡ λέξις παρὰ τὸ σφῆκα. τὰ γὰρ μικρὰ τῶν ξύλων καὶ εἰς ὀξὺ σεσηγμένα, σφηκίσκους καλοῦσιν. ἐπεὶ καὶ οἱ σφῆκες τὴν κοιλίαν ἐπεσφιγμένην ἔχουσι ἰσχνὴν

Balatu referentes vocem Ovium, & Caprarum
Caprorumque fœtentium modulo, fœtide olentium.
Sequimini recutiti, velut hirci autem lascivite. 295

Cho. Nos autem vicissim quæremus, Threttanelo balantes, Cyclopem
Hunce te famelicum nacti,
Peram gestantem atque olera agrestia roscida, ebrium
Ovibus præeuntem,
Forsan etiam somno alicubi oppressum, nullâ ratione ha-
Adhibito palo ingenti præusto excæcare. latâ loci commodi

Car. Ego vero Circen illam venena miscentem vel incom-
(Quæ modi;
sive sub
Tecto, sive sub Dio

ΣΧΟΛΙΑ.

ἰχνοὶ ὄντες ὄπισθεν καὶ τὰς λαγαρὰς ἢ τοῖς σώμασιν ἀνθρώπους καὶ μὴ προκοιλίους, σφηκώδεις φασίν. ἄλλως. σφηκίσκον, ἀξυμμιγέον ξύλον. ἐπεὶ καὶ ὁ σφὴξ, ὀξὺς ὢν τῶν ὄπισθεν ἐκτυφλῶσαί σέ φησιν ὡς τὸν Κύκλωπα ὃν μιμῇ. ἄλλως. ἐνταῦθα ὁ ποιητὴς παιγνιωδῶς ἐπιφέρει τὰ τοῦ Φιλοξένου εἰπόντος πῆραν βαστάζειν τὸν Κύκλωπα, καὶ λάχανα ἐσθίειν, ὅτι γὰρ πεποίηκε τὸν τοῦ Κύκλωπος ὑποκριτὴν εἰς τὴν σκηνὴν εἰσαγόμενον. ἐμνήσθη δὲ καὶ τῆς τυφλώσεως ὡς ὕστερον ἐν τῷ ποιήματι. ταῦτα δὲ πάντα Διονύσιον τὸν Φιλόξενον εἰπεῖν, ὡς μὴ ἀληθεύοντα. ὁ γὰρ Κύκλωψ, ὡς φησιν Ὅμηρος κρέα ἤσθιε, καὶ ὠμὰ λάχανα. ἃ τοίνυν ἔφησεν ἐκεῖ ὁ Φιλόξενος, ταῦτα ὁ χορὸς εἰς τὸ μέσον ἀναφέρει.

302. Ἐγὼ δὲ τὴν Κίρκην. | Ἔκθεσις τοῦ διπλῆς συσηματικῶς στίχων καὶ κώλων εἴκοσι. εἰσὶ δὲ τοῦ πρώτου συσήματος στίχων καὶ κώλων ἑπτά. τούτων ὁ πρῶτος τετράμετρος ἀκατάληκτος. οἷον τὸ τοῦ Ἀλκαίου· Δέξαι μοι κωμάζοντα δέξαι λίαν ὁμαι σε λίαν ὁμαι. ὁ δεύτερος τετράμετρος καταληκτικὸς ὡς τὰ πρὸ τούτων. ὁ δὲ τρίτος δίμετρος ἀκατάληκτος. ὁ δὲ τέταρτος τετράμετρος καταληκτικὸς ὁμοίως τῷ δευτέρῳ. ὁ δὲ πέμπτος ὁμοίως τῷ τρίτῳ. ὁ ἕκτος τρίμετρος ἀκατάληκτος. ὁ δὲ ἕβδομος τρίμετρος καταληκτικός. ὡς ἐκεῖνα τοῦ Ἀνακρέοντος· Ὁ μὲν θέλων μάχεσθαι. Πάρεσι γὰρ μαχίσθαι. ἐφθημιμερῆ δὲ τὰ τοιαῦτα καλεῖται, ὡς τριῶν ἐχόντα πόδας καὶ συλλαβήν. ἐπὶ τῷ τέλει παράγραφος.

303. Ἑταίρους

Ἦ τὰς ἑταίρας τῆ Φιλαινίδι ποτ' ἐν Κορίνθῳ,
Ἔπεισεν, ὡς ὄνταις κάπρις,
Μεμιγμένον σπῶρ' ἰδίοιν, αὐτὴ δ' ἔμαθ'εν αὐτοῖς,
Μιμήσομαι πάντα τρόπον.
Ἡμεῖς ὦ γρυλλίζοντες ὑπὸ φιλησίας,
Ἔπεσθε μηδὲν χεῖρον.

Χο. Οὐκ ἔστι σε τὼ Κίρκιν γε, τὼ τὰ φάρμακ' ἀνακικῶσαν,
Καὶ μαγανεύσαν μεθύσασά τε τὰς ἑταίρας,
Λαβόντες, ὑπὸ φιλησίας
Τὸν Λαέρτιὰ μεμιμημένοι, περὶ ἔρχεων κρεμῶμεν,
Μινθώσομεν δ', ὥσπερ τράγε, Τὴν

τῶ μίνθω χρίσομεν

ΣΧΟΛΙΑ.

303. Ἑταίρας δ' Φιλαινίδι. | Δέον εἰπεῖν Ὀδυσσέως, ὁ δὲ Φιλαινίδι εἶπε. κωμῳδεῖ δὲ αὐτὸν ὡς πλήσιον, καὶ παρασίτας ἔχοντα καὶ διὰ τὴν Λαΐδος ἔρωτα εἰς Κόρινθον διάγοντα. κωμῳδοῦται καὶ ὡς συνόδους σὺν ταῖς ἑταίραις αὐτοῦ, ὡς κάπρος εἶπε. τὴν δὲ Λαΐδα Κίρκην εἶπε, ἐπεὶ τοὺς ἑταίρους ἐφαρμάκευεν. ἄλλως. ὥσπερ καὶ Κίρκην φησὶ παίζων τὴν Λαΐδα φαρμάσασαν τοὺς ἐρῶντας. τροπικῶς δὲ παίζει εἰς ταύτην ἐπαινῶν ἄγαν τὴν ἱστορίαν. δῆλον δὲ ὅτι περὶ Φιλαινίδα διαλέγεται. κάπρος δέ φησι τοὺς ἑταίρους τῆ Φιλαινίδι, τῷ ὅλῃ ὕβρει. καὶ ταῦτα δὲ εἰς Φιλαινίδα τὴν Μελιτέα, ὡς ἐ μόνον μίγας, ἀλλὰ καὶ ἀρκαδὴ καὶ ὑὸδη. καὶ Νικόχαρις ὁ Γαλατεύς, καθ' ὅτ' ἀκμαιοδυτότερος εἶ Φιλαινίδι τῆ Μελιτέως. ἄλλως. ὁ τῇ νήσῳ τῶν Λαιστρυγόνων ἡ Κίρκη ἦν, πάσας γυναῖκας παρελθοῦσα μαγείαις, προσίχεν ὧν Ὀδυσσεὺς τῇ νήσῳ μὴ τὸ φυγεῖν τὴν Κύκλωπα, καὶ πέμψας τινὰς τῶν αὐτοῦ ἑταίρων, τίς ἂν εἴη σκοπεῖσθαι, ἔρημος δ' ἦν ὁ χῶρος. ἐπεὶ ἀπελθόντες ἔστησαν καὶ τὴν Κίρκην εὑρόντες, χοῖρας ἐπ' αὐτῆς διά τινος ποτοῦ γινομένους, αὐτὸς εἰς τὴν τέχνην ἀφίκετο ζητήσων· ἐντυχὼν δὲ τῷ μύστῃ τῆς ὁδοῦ τῷ Ἑρμῇ, καὶ παρ' αὐτοῦ μαθὼν τὰ περὶ ἑταίρων, καὶ λαβὼν παρ' αὐτοῦ τὸ Μῶλυ ὅτις ἐστὶν ἀντιφάρμακος βοτάνη, ἦλθε πρὸς Κίρκης οἶκον κατέλαβε· ἐπιχειρησάσης δὲ καὶ αὐτῷ τὰ ὅμοια δρᾶσαι, τὸ ξίφος καθ' αὐτῆς ἀνέτεινεν· ὅθεν αὐτὴ φοβηθεῖσα, τούς τε ἑταίρους αὐτοῦ πρὸς τὴν ἀρχαίαν μορφὴν ἀπεκατέστησε,

(Quæ Philonidæ ſocios olim in Corintho
Perſuaſit itidem ac ſi ſues eſſent,
Subactum ſtercus ut comederent quod ipſa illis ſubegerat)
Omni modo imitabor.
Vos autem grunnientes præ voluptate,
Matrem ſequimini porci.
Cho. Atque proinde te, Circen illam venena miſcentem
Et faſcinantem conſpurcantemque ſocios
Deprehendentes, præ voluptate
Laertis filium imitantes, teſticulis ſuſpendemus,
~~Linemuſque tuas, tanquam hirci~~
Stercore caprino haud ungemus. Nares.

ΣΧΟΛΙΑ.

τίσησε, ϗ πρὸς μίξιν αὐτῷ συνελθεῖν ἐπιθύμησεν· ὁ δὲ ϗ ἐμίσησε, ϗ παῖδα ἔσχεν ἐξ αὐτῆς τ Τηλέγονον, ὑφ' ὃ ϗ ὕστερον καὶ ἄγνοιαν ἀνηρέθη κέντρῳ τρυγόνος. Θέλων ἂν ὁ ποιητὴς σκῶψαι τ Φιλωνίδην ὅτι αὐτῷ ἦρα Λαΐς, ἀντὶ ⸗ εἰπεῖν τὰς ἑταίρας ⸗ Ὀδυσσέως, Φιλωνίδᾳ εἶπεν. ἀντὶ δὲ ⸗ εἰπεῖν ἐν τῇ νήσῳ τῶν Λαιστρυγόνων, ἐν Κορίνθῳ εἰρηκεν, ὡς ἐκεῖ τ Λαΐδος οἰκούσης.

309. Οὐκ ἂν σε τὴν Κίρκην. | Τῷ δευτέρῳ συστήματος στίχοι ϗ κῶλα ἐπτά. ἔχουσι δ' ὁμοίως τῇ προφδάσῃ ᾠδὸν καθ' ἕκαστον.

311. Λαβόντες. | Οὕτω καὶ τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται, ὧν ἦ ὁμοιον τῷ ἄνω τρίτῳ κώλῳ. τὸ δὲ ἦν λάβωμεν ἐ πάνυ δόκιμον.

312. Τῶν ἀρχαίων κρεμῶμεν. | Δέον εἰπεῖν ὅτι ξίφος ἐπιφέρωμέ σοι κατὰ ϗ Ὀδυσσεὺς τῇ Κίρκῃ, ὁ δὲ ὁ συμβέβηκε τῷ Ὀδυσσεῖ κατὰ τὴν εἰρεσίᾳ ἐποχὴν ἐν τῷ στομίῳ τ Χαρύβδεως, ἐπὶ τὴν Κίρκην μετήγαγεν, ἢ ὡς σαφῶς Μελάνθιον ἐκρέμασεν.

Κρεμῶμεν. | Ἀντὶ ⸗ κρεμάζομεν.

313. Μιθώσομεν. | Μίνθον οἱ μὲν, τὸ ὑδύσμον. οἱ δὲ τὴν ἰυγγα. ὡς κεῖται ἐν τῇ κωμικῇ λέξει. οἱ δὲ εἶδος ἄνθους ἐν τῇ κόπρῳ φυομένου, ᾧ χαίρουσιν οἱ τράγοι. ἢ ϗ ἄλλως. μίνθος λέγεται ἡ κόπρος τῶν αἰγῶν. ἐπῴδὴν δὲ οἱ τράγοι ψυγμῷ ⸗ ἐπίστασιν, ἐάθασιν οἱ ἀιπόλοι λαμβάνῃ τὴν κόπρον αὐτῶν ϗ χρίῃ αὐτῶν τὰς μυκτῆρας ϗ ὕτω τῇ δυσωδίᾳ πλαρμὸν κινῆν. τούτῳ δὲ τῷ τρόπῳ λύῃ τὸ πάθος. πλαρμὸς γὰ θεραπείᾳ τὸ πάθος. ἐκ τούτου ἂν φησιν

ὅτι

subint: ὡς scholi. Τὴν ῥῖνα σύ γ' Ἀρίστυλλε. ἐπιχαίρων ἔρεις,
Ἔπειτα μητρὶ χαίρει. 315
Καρ. Ἀλλ' ἆρα νῦν ἤδη σκωμμάτων ἀπαλ-
λαγέντες ἤδη
Ὑμεῖς, ἐπ' ἄλλ' εἶδε. τρέπε-
σθ'. ἐγὼ δ' ἰὼν ἤδη, λαβὼν
Βυλήσομαι, τὸ δειπνότε
Λαβὼν τὴν ἄρτον, καὶ κρέας, 320
Μασσώμενε. τὸ λοιπὸν, ἕστω τῷ κόπῳ ξυνείναι.

sic, nempe cibo satiatus.

ΣΧΟΛΙΑ.

ὅτι ἀηδίσομέν σε, ἐπὶ καὶ αἱ αἶγες ἐκ τῆς κόπρου ἀηδίζονται. ἄμεινον κατακόπρου. μύθος γάρ ἐστιν ἐν τῇ κόπρῳ φυόμενον, ᾧ χαίρουσιν οἱ τράγοι. οἱ δὲ μύθον φασὶ τὴν ἀνθρωπίνην κόπρον, ἣν χρῶνται παρατρίβοντες οἱ ποιμένες τῷ δυσριγεῖ τῶν τράγων πλευρῷ.

314. Σὺ γ' Ἀρίστυλλος. | Ὁ Ἀρίστυλλος αἰσχρός. καὶ ἐν ἐκκλησιαζούσαις μίμηταί αὐτὸν ὡς αἰσχροποιόν. λείπει δὲ τὸ ὡς ὁ Ἀρίστυλλος αἰσχρεργίαις κεχρημένος. αἰσχρεργὸν γὰρ αὐτόν φησι ποιητὴν ὄντα τὴν αἰσχρεργίαν αὐτῷ ἀεὶ συνοῦσαν. τοῦτο ἔν φησιν ὥσπερ ὁ Ἀρίστυλλος κεχλιωνὼς ἐρεῖς, ἔπειθε μητρὶ χαίροι. ἀντὶ τοῦ ἐμοί. τοῦτο δὲ παροιμιώδες εἶναί φασιν. οἱ γὰρ παῖδες τοῦτο εἰώθασι λέγειν, ἔπισθι

ΔΡΑΜΑΤΟΣ τοῦ ΔΕΥΤΕΡΟΥ
ΣΚΗΝΗ ΔΕΥΤΕΡΑ.

ΧΡΕΜΥΛΟΣ, ΧΟΡΟΣ.

Χρ. Χαίρειν μὲν ὑμᾶς ἔξεστιν, ὦ ἄνδρες δημόται,
Ἀρχαῖον ἤδη, καὶ σφόδρα χορεύειν, καὶ σαφῶς γε. Ἀπα-

an old fashioned, ungenteel way of speaking

ΣΧΟΛΙΑ.

322. Χαίρειν μὲν ὑμᾶς. | Κωμικὸς, ὅτι εἰσίασιν οἱ ὑποκριταί. οἱ δὲ εἴκοσι ἐμβόλιμοι τρίμετροι ἀκατάληκτοι εἰσί γ'. ὧν ὁ τελευταῖος.

καὶ

χαλεπὸν... Aristophanes here ridicules a practice very common in all ages of the World, amongst those who arrive at great Honours, & Riches, beyond what they had reason to expect from the circumstances of their Birth. such persons are very fond of altering yr. Behavior all at once, & imitating yr. Manners, & Language of yr. most polite people. — this is yr. case of Chremylus, in the present instance: no sooner is Plutus entred into his House, but yr. word χαλεπὸν is too vulgar for him to make use of in speaking to his Companions, & accordingly he confines himself to ἀστα-ῖόμεν: a form of Address, peculiar to the Great, and fashionable World. —

Nares. Tu vero *ut* Ariſtyllus, ~~hiante rictu dices~~, ore non satis
Matrem ſequimini porci. aperto subhiare. ——

Car. At agite nunc, omiſſis jam cavillis,
Vos in aliam ſpeciem convertimini.
Ego autem jam abiens, clam hero
Pane carnibuſque ſurreptis, volo,
Cùm quod reliquum eſt comedero, ita huic operi intereſſe. 320

ΣΧΟΛΙΑ.

ἔπισθε μητρὶ χοῖροι. παροιμιακὸν ὃν ἐφὶ ᾧ ἐπὶ τῶν ἀπαιδεύτων φασὶ λέγεσθαι.

317. Ἀλλ' εἶδος. | Τῆς τρίτης θεὶ ὁδὸς τίχοι ᾗ κῶλα ἓξ. ὧν τὸ μὲν πρῶτον ᾗ τελευταῖον τετράμετρα καταληκτικὰ, τὰ δὲ μεταξὺ δίμετρα ἀκατάληκτα, ἐπὶ τῷ τέλει διπλαῖ ἔχει νενευκυίας, ἡ μὲν ὡ τῇ ἀρχῇ ☞ κῶλα, ἡ δὲ κατὰ τὸ τέλος.

318. Ἐγὼ δ' ἰών. | Δείκνυσιν ὡλιῦθεν ὡς τοιαῦτα οἱ δοῦλοι ποιεῖν εἰώθασιν.

321. Τῷ κόπῳ. | Τῇ θεὶ τὸν πλοῦτον ἐπιμελείᾳ. ἀπὸ θέματος δὲ τοῦ μαστῶ δευτέρας συζυγίας, τὸ μαστώμενος. ὡς πλώμενος.

ACTUS SECUNDI SCENA SECUNDA.

CHREMYLUS, CHORUS.

Chr. SAlvere ſi vobis dixero, ô viri populares,
Vetus eſt ſalutandi formula ac putida.
Amplector

ΣΧΟΛΙΑ.

ᾗ δὴ βαδίζω. σπεῦδε νῦν τοῦτ' αὐτὸ δρᾶν. ὁ δὲ Χρεμύλος ὡς καινοπρεπὴς τῇ τύχῃ, καινοτέραν προσηγορίαν ἐπινοεῖ. τὸ γὰρ χαίρειν, παλαιόν ἐστι. θεὶ δὲ ☞ ὡ τῇ συνηθείᾳ χαίρειν, τοῦτο ὡ ταῖς ἐπιστολαῖς

Ἀσπάζομαι δ' ὅτι πρεσβύτεως ἥκετε,
Καὶ συντεταγμένους, καὶ καταβεβλακυῖαν.
Ὅπως δὲ μοι καὶ πᾶλλα συμπαρεσκεύασται
Ἔνδοθεν, καὶ σωτῆρες ὄντες τοῦ δεσπ.
Χο. Θάρρει. βλέπειν γὰρ ἄντικρυς δόξεις μ'
Ἄρη.
Δεινὸν γὰρ, εἰ τριωβόλου μ' εἵνεκα,
Ὠρυζόμενος ἑκάστοτ' ἐν τῇ ἐκκλησίᾳ,
Αὐτὸν ἢ τὸν Πλοῦτον παρεῖμι τῷ λαβεῖν.
Χρ. Καὶ μὴν ὁρῶ καὶ βλεφίδιμον τουτονὶ
Περιόντα. δῆλος δ' εἶν, ὅτι τοῦ πράγμα-
τος.
Ἀκήκοέν τι, τῇ βαδίσει καὶ τῷ τάχει.

ΔΡΑ-

ορατε, or some such word, must be understood here.
for ΟΥΤΕΣ read ΟΥΤΩΣ.

ΣΧΟΛΙΑ.

λαὶς γέγραπται Διονυσίῳ μονόβολον ἐπὶ αὐτῷ. καὶ λέγει μὲν ὑπὸ Κλέωνος πρῶτον αὐτὸ τετάχθαι, γράψαντος πρὸς Ἀθηναίους πᾶς ἕλοι τὰς ἐν Σφακτηρίᾳ. Κλέων Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν· λέγει δὲ αὐτὸ κἀκεῖθεν ἐπιτίθησι καὶ ἐπὶ τὴν σύνταξιν αὐτῶν, ἐπ δὲ τ' συντάξεως ἓν λόγου φασὶν ἀσύστατον, εἰ μή τις αὐτὸ λάβοι ἀπαρέμφατον ἀντὶ προστακτικῆς ὡς καὶ παρὰ τῷ ποιητῇ. Πέρᾶν δ' ἄσκαν Τρῶες ὑπερκύδαντας Ἀχαιούς. Ἐμφαίνεται δὲ τοιοῦτον, ὡς οἱ ἐξαίφνης καὶ παρ' ἐλπίδα ἐντυχόντες, ἕτεροι τοῖς τρόποις γίνονται καὶ πρὸς ὑπερηφάνειαν χωροῦσι. καὶ ἡδὺ δὲ ἐστι τὸ χαίρειν καιρόν. ἀλλὰ δίδυτι πόθεν ἂν πρώτου πρὸς τοὺς συνήθεις τοῦτο ἐχρῶτο, ἀλλὰ τοῦτο ἀτιμάζει αὐτὸ, θέλων μὴ ἓν βίᾳ καὶ τὰ προστάγματα μετακαλεῖν. σύνηθες δὲ τὸ ἔστι πρὸς τὸ ἀρχαῖον.

324. Ἀσπάζομαι. | Ἀσπάζομαί φησιν, ἅτε καινότερον παρὰ τὴν ὑπόνοιαν δι' ἃ μὴν ἡδέως χαίρειν ἀσπάζομαί φησιν.

325. Καὶ συντεταγμένους. | Καθωπλισμένους μὴ τάξεως. καὶ σπουδαίους καὶ γοργοὺς. καὶ μὴ συγκροτήματός τινος. κατεβεβλακυῖαν δέ, ἀντὶ ἓ βραδίαν καὶ τρυφερᾶς. βλακὺς γάρ ἐστιν ὁ μαλθακόρρους ἐν ὑποκρίσει τὸ σῶμα. καὶ βλακεία, ἡ μετ' ὑπερηφάνειας ὁμιλία.

328. Δόξεις

325. Dr. Bentley thinks it should be συν-
-τεταμενως, i.e. Contente, vel, Contentu gradu
as agreeing better with yt. sense, and Metre
in yt. place. — see his Notes upon Callima-
-chus. p. 233.

for, τῃ βασίσει ταχινῃ — as they say in Latin,
Pateris libamus et Auro. Virg:

Amplector autem, quod prompte adeſtis
Parateque nec remiſſo gradu.
Volo autem ut cum in cæteris aſtipulatores mihi
Sitis, tum *præſertim* conſervatores *hujuſce* Dei.

Cho. Bono animo es: videre enim me planè tanquam
Martem videberis.
Mirum enim ſi teruncii gratia quidem
Huc illuc protrudamur quotidie in conventibus,
Ipſum autem Plutum cuiquam capiendum cedam.

Chr. At enim video Blepſidemum etiam hunc *noſtrum*
Huc accedentem: palam autem eſt hoc de negotio
Ipſum aliquid reſciviſſe & inceſſu & propero gradu.

ACTUS

ΣΧΟΛΙΑ.

328. Δόξις μ' Ἄρη. | Ὡς αὐτὸν τ' Ἄρεα τ' θεὸν, ἔξις σύμμαχον. δόξις μέ φησι τ' Ἄρεα ὁρᾶν. ἀντὶ δ' κατορθωτικὸν κ) πρακτικὸν ἄκρως. κ) ἀπλήκτικῶς φησι βλέψω πρὸς τὰς βιαζομένας. ἄλλως. παροιμία ἐπὶ τῶν ἐπιχειρούντων παντὶ σθένει συμπράττειν κ) συναίρειν εἰς βοήθειαν.

329. Εἰ τριωβόλου. | Ὅτι οὐκ ἤκουτο δ' δικαστικῶ ὁ μισθὸς, ἀλλὰ κατὰ καιρὸν μετέβαλλον. τοῦτο δὲ λέγει, ὡς τινων ὄντων τότων δικαστῶν ὄντων.

330. Ὠθιζόμεσθ'. | Ὠθούμεθα. κ) Ῥωμαῖοι ὦσιν τὰς θύρας φασὶ παρὰ τὸ ἐξωθεῖν τὸ ἐπερχόμενον. ἐν τῇ ἐκκλησίᾳ δὲ ἐδὶς ἐδίκαζεν εἰ μὴ ἐπέβαινε τῶν ξ' ἐνιαυτῶν. ὅσοι δὲ τελείας ἡλικίας ἦσαν, εἰσήρχοντο μὲν εἰς τὴν ἐκκλησίαν, οὐκ ἐδίκαζον δὲ, τότους ὧν τὰς ἐκκλησιαζὰς ἐποίησαν φανερόν τι λαμβάνειν ἀπὸ τ' τ' πόλεως προσόδων οἱ δημαγωγοὶ πείσαντες τὴν πόλιν. ὕστερον δὲ ὁ Κλέων ἐποίησεν αὐτὸ τριώβολον. ἀφῆλιξ δὲ εἰς τὴν ἐκκλησίαν οὐκ εἰσήρχετο.

332. Βλεψίδημον. | Βλεψίδημος, ὁ πρὸς τ' δῆμον βλέπων, κάπτ τότε τὰ πρὸς ζωὴν περιζόμενος. ὑπηρέτης γὰρ ἦν τ' τὰ δημόσια ὑπηρέτων.

336. Ἐξαπίνης.

ΔΡΑΜΑΤΟΣ τῦ ΔΕΥΤΕΡΟΥ
ΣΚΗΝΗ ΤΡΙΤΗ.

ΒΛΕΨΙΔΗΜΟΣ, ΧΡΕΜΥΛΟΣ.

ΤΙ ἂν ἓν τὸ πρᾶγμ' εἴη;— πόθεν —ὴ τίνι τρόπῳ
Χρεμύλ. πεπλύτικ' ὀξαπίνης;— ἔ πείθομαι,—
Καί τοι λόγ. γ' ἦν, νὴ τ' Ἡρακλέα, πολύς,
Ἐπὶ τοῖσι κυρείοισι τῦ καθημμένων,
Ὡς ὀξαπίνης ἀνὴρ γεγύπται πλούσ. —
Ἔστιν δέ μοι τῦτ' αὐτὸ θαυμαστὸν χ' ὅπως,
Χρησόν τι πρᾶτον, τὰς φίλας μεταπέμπεται·
Οὔκουν ἐπιχώριόν τι πρᾶγμ' ἐργάζεται.

Χρ. Ἀλλ' οὐδὲν ἀποκρύψας, ἐρῶ μὰ τὰς θεάς.
Ὦ Βλεψίδημ', ἄμεινον ἢ χθὲς πρᾴτομεν·
Ὥστε μετέχειν ἔξεστιν, εἰ καὶ τῦ φίλων.

Βλ. Γέγονας δ' ἀληθῶς, ὡς λέγουσι, πλούσιος;

Χρ. Ἔσομαι μὰ ἓν αὐτίκα μάλ', ἢν θεὸς θέλῃ.
Ἔνι γάρ τις, ἔνι κίνδυν. ἐν τῷ πράγματι.

Βλ.

ΣΧΟΛΙΑ.

336. Ἐξαπίνης. | Καὶ ἐξάπρα. γίνεται παρὰ τὸ ἄφνως ἄφνω καὶ ἄπινα.

338. Ἐπὶ τοῖσι κυρίοισι. | Διαβάλλει τὰς Ἀθηναίους ὡς δημοτρίνοντας ἐπὶ τῇ κυρίαν ἀργῶς, καὶ σὺν τοῖς ἰατρείοις ποιεμένας τὰς συντυχίας. Κυρῖαι δὲ ἦσαν ἐργαστήρια ἐν οἷς οἱ βυλόμενοι κείρη τὰς τρίχας τ' κεφαλῆς καὶ τ πώγωνος ἀπιόντες ὑπείροντο, ὁπότε φάσκοιεν τ μίτρᾳ.

342. Οὔκουν

The Wit, and Humour of this Scene consists in yt affected Incredulity of Blepidemus, who cannot be prevailed upon to believe yt his friend Cheremylus had gain'd his Wealth honestly. this is very natural, and a temper very common to little minds, who are apt to envy any great, or sudden success wch befals another.

Theophrastus, it seems, used to cale Barbers Shops, ασινα συμποσια.

342. "He does not follow the maxims of his Countrymen in this."



ACTUS SECUNDI SCENA TERTIA.

BLEPSIDEMUS, CHREMYLUS.

Bl. QUID hoc rei eſt, obſecro? unde & quo pacto Chremylus inopinatò dives evaſit? vix credo,
Tametſi mehercule ſermo frequens erat,
In ore illorum qui in tonſtrinis deſident,
Quam repente dives ille factus ſit.
Eſt autem mihi hoc ipſum mirandum etiam, *unde fiat* ut,
Cum fortuna proſpera utatur, amicos accerſat,
Patriæ moribus conſentaneam rem profecto haud agit.
Chr. At nihil *hominem* celans dicam; ita me Dî ament,
O Blepſideme, melius quam heri nobiſcum agitur,
Ita ut tibi participare liceat; ex amicorum enim numero es.
Bl. Factuſne igitur es re vera, prout fama eſt, dives?
Chr. Futurus ſum ſtatim quidem, ſi Deus annuat.
Ineſt enim, ineſt huic rei periculum.

Bl.

ΣΧΟΛΙΑ.

342. Οὔκουν ἐπιχώριόν τι. | Σκώπτει πάλιν τὸς Ἀθηναίους, ὡς ἐπιφθόνους. ὃν ἀκολουθεῖ φησι τῇ Ἀθηναίων διαγωγῇ καὶ ἀλλαχοῦ, ἐπὶ δὲ προσώπου γάρ ἐστιν Ἀγλιπὸν βλέπος.

349. Λέγ' ἀνύσας. | Οἱ λέγοντες τὸ ἀνύσας ἀντὶ δὲ ἄνυσον, καὶ τὸ λέξας ἀντὶ δὲ λέξον ὡ καλῶς λέγουσιν. ἔχει δὲ ὕτως. λέγε ὅ, τι φὴς ποτε ἀνύσας καὶ τελίσας τοῦτο. τυτέσιν εἰς τέλος καὶ ἀσφάλειαν ἀγαγὼν τὸν λόγον.

Βλ. Ποῖός τις; Χρ. Οἴμοι. Βλ. Λέγ' ἀνύσας, ὅ, τι φῇς ποτε.
Χρ. Ἦν μὴ καταρδώσωμεν, εὖ πεφάτειν ἀεί.
Ἦν δ' σφαλῶμεν, ἐπιτετρίφθαι τοπαραύτικα.
Βλ. Τυτὶ πονηρὸν φαίνεται τὸ φορτίον.
Καί μ' οὐκ ἀρέσκει. τοῦ, τε γὰρ ἕξαίφνης ἄγαν
Οὕτως ὑπερπλυτεῖν, τό τ' αὖ δεδοικέναι
Πρὸς ἀνδρὸς ὑδὲν ὑγιὲς ἐς' εἰργασμένος.
Χρ. Πῶς δ' ὑδὲν ὑγιές; Βλ. Εἴ τι κεκλοφὼς, νὴ Δία,
Ἐκεῖνθεν ἦκες, ἀργύριον ἢ χρυσίον
Παρὰ τοῦ θεοῦ· κἄπειτ' ἴσως σοι μεταμέλει.
God forbid! Χρ. Ἄπολλον ἀποτρόπαιε· μὰ Δί' ἐγὼ μὲν οὔ.
Βλ. Παῦσαι φλυαρῶν· ὦ γάθ'. οἶδα γὰρ σαυτὸν σοφῶς.
Χρ. Σὺ μηδὲν εἰς ἐμ' ὑπονόει τοιοῦτο. Βλ. Φεῦ, —
Ὡς ὑδὲν ἀτεχνῶς ὑγιὲς ἔστιν ὑδενός.
Ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες!
Χρ. Οὕτοι μὰ τὴν Δήμητρ' ὑγιαίνειν μοι δοκεῖς.
Βλ.

ΣΧΟΛΙΑ.

351. Ἐπιτετρίφθαι. | Τοῦτο εἴπτι φοβούμενος μὴ ἀπτυχὼν ἐγείρῃ τὴν Δίκην πρὸς ὀργὴν καὶ ἐπιτρίβῃ αὐτούς.

Τοπαραύτικα. | Ἀντὶ τοῦ παντελῶς κατὰ πάντα τρόπον. ἐξ ὁλοκλήρου. Ἀτλικὸν δὲ τὸ, Καὶ μ' οὐκ ἀρίσκει, ὡς προεῖρηται.

355. Πρὸς ἀνδρός. | Ἡ πρὸς σεαυτὸν ὅτι ἀβέλτερός ἐστιν, ὡς οἰονταί τινες, ἀντὶ τοῦ ὑπὸ, κεῖται. ἀλλὰ τὸ καθῆκον σημαίνει. ὡς καὶ παρὰ Σοφοκλεῖ, Οὐ πρὸς ἰατρῷ σοφῷ θροεῖν ἐπῳδάς.

359. Ἀποτρόπαιε.

351. "There seems to be a sad clog upon this affair." &c. ———— ————

"What is there no such thing as Integrity in the world" &c. —— The Genitive οὐδενος is not without its force, it sounds as if one was to say in Latin, "ut nihil cujusquam rei"! i.e. nulla omnino res – ut nihil quidquam. ———— ————

Bl. Qualenam? *Chr.* quale ſcilicet. *Bl.* Dic ſtatim.

Chr. Si rectè quidem procedamus, nobis ſemper res bene ſucceſſuras,
Siquid verò titubemus, *nos* perituros penitus.
Bl. Hoc grave videtur onus,
Nec mihi placet: nam & derepente nimis
Ita ſupra modum diteſcere, & tum deinde metu premi,
Hominis eſt, qui nihil recti perpetravit.
Chr. Quomodo, nihil recti, dicis? *Bl.* Siquid furatus, per Jovem,
Exinde prorepis, argentum *ſcilicet* vel aurum
A deo, dehinc forſan te *facti* pœnitet.
Chr. Apollo averrunce! ita me Dî ament, ego neutiquam.
Bl. Deſine nugari, bone vir; aperte enim novi.
Chr. Tu autem nihil de me tale ſuſpiceris. *Bl.* Eheu!
Ut nihil prorſus ſani eſt apud quempiam!
Sed omnes ad unum à lucro vincuntur.
Chr. Non tu mihi ſat ſanus videris, per Cererem.

Bl.

ΣΧΟΛΙΑ.

359. Ἀποτρόπαιε. | Ὡς σὺ ἀρχὴν εἴληφε τὴν τῆ θεῷ ἐπίκλησιν.

361. Φεῦ. | Ἀποδυσπετεῖ ὡς ἠνημένῳ Χρεμύλῳ τὸ κακούργημα.

362. Ὑγιὲς ἐστιν ὑδενός. | Ὅτι ὑθεὶς ὃς δοκεῖ ἔχειν πλεονέκτημα ἀρετῆς, ὑγιῶς ἔχει. εἰς τὸ αὐτὸ, Πλάτων Φαίδωνι· Τελευτῶν δὴ θαμὰ προσκρύων, μισεῖ τε καὶ πάντας ἡγεῖται ὑδενὸς ὑδὲν εἶναι τεταραγμένος.

364. Ὑγιαίνῃ μοι δοκεῖς. | Ἐπεὶ τοιαῦτα κατ' ἐμοῦ ὑποπτεύεις.

Βλ. Ὡς πολὺ μεθέηκ', ὧν πρότερον εἶχε, τρόπων.

Χρ. Μελαγχολᾷς, ὦ ἄνθρωπε, νὴ τὸ ὑοσκύον.

Βλ. Ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν ἔχει.

Ἀλλ' ἔξιν ὑπόδηλόν τι πεπανουργηκότι.

Χρ. Σὺ μὲ οἶδ' ὃ κρώζεις.—ὡς ἐμοῦ τι κεκλοφότος,

Ζητεῖς μεταλαβεῖν. — Βλ. Μεταλαβεῖν ζητῶ; — τίνος;

Χρ. Τόδ' ὄξιν οὐ τοιοῦτον, ἀλλ' ἕτερος ἔχον.

Βλ. Μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας; Χρ. Καταδαιμονᾷς.

Βλ. Ἀλλ' οὐδεμιᾷ ἀπεξέρηκας γ' οὐδένα;

Χρ. Οὐ δῆτ' ἔγωγ'. Βλ. Ὦ Ἡράκλεις· φέρε, ποί τις ἔν

Τεάποιτο; πάλιν δὲ δὴ ἐθέλεις φράσαι.

Χρ. Κατηγορεῖς γὰρ, πεῖν μαθεῖν τὸ πρᾶγμά μου.

Βλ. Ὦ τᾶν. ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ Ἐθέλω διαπεράσαι, πεῖν συδέσθαι τιὼ πάλιν, Τὸ σὸν ὑπόδυσας κέρμασι τοῖς ῥητόρων.

Χρ.

ΣΧΟΛΙΑ.

365. Μεθέηκ' ὧν πρότερον. | Πρώην χρηστὸς ἦν, νῦν πανοῦργος γέγονεν.

368. Ἐπίδηλόν τι. | Ἀλλ' ἔστι τὸ βλέμμα αὐτοῦ ὅμοιον πεπανουργηκότι βλέμματι.

369. Οἶδ' ὃ κρώζεις. | Παροιμία ἐπὶ τῶν θρυλλούντων ὡς αἱ κορῶναι. ἀντὶ δὲ τοῦ ἄνω καὶ κάτω φέρει δὲ κεκλοφέναι μοι διαλέγῃ.

Ὡς ἐμοῦ τι κεκλοφότος. | Τὸ ὡς σὸν ἔστιν εἰρημένον ἀντὶ τοῦ ὅτι,

"Bless me! how different he is, how much he has departed from his former simplicity?"

369. "Oho! I perceive now what makes you so clamorous, &c". ——— ——— ———

371. "What then, perhaps you have not filched any thing, but robb'd by main force?" ——
"But have you not cheated some body at least, or overreach'd them?" ———
"Why prithee what other method can a man make use of to grow rich?" ———

379. "I'll put a gag in the mouths of our Orators". — This is a Satyr upon ye Orators, who, he supposes could be bribd to any thing; but he glances at Demosthenes in particular, who having pleaded against ye Milesians one day, was bought off the next, by their Embassadors, when he pretended to have a violent Cold and Quinzy; those who knew the real cause, said that it was not a συναγχη, but an αργυραγχη that prevented him. ———

Bl. Quam longe receſſit à moribus priſtinis!
Chr. Atra bile moveris, mi homo, per cœlum.
Bl. At nec ipſe oculi aſpectus ſuo manet loco,
Sed manifeſtè arguit perperam aliquid ipſum feciſſe,
Chr. Tu quid crocites, novi: quaſi ego aliquid ſuf-
furatus eſſem,
Tu particeps eſſe cupis. *Bl.* Particeps eſſe cupio? cu-
jus *rei*, *cedo*?
Chr. Hoc autem nihil tale eſt, ſed longe aliter ſe
habet.
Bl. Num tu ergo non furatus es, ſed ſurripuiſti? *Chr.*
Larvatus es.
Bl. At neque quenquam fraudâſti ergo?
Chr. Non ego profectò. *Bl.* O Hercules! age,
quónam igitur ſe quiſpiam
Vertat? verum enim non vis eloqui.
Car. Accuſas enim priuſquam, ut mea res ſe habeat,
didiceris.
Bl. O bone vir! ego tibi hoc modico prorſus
Effectum dabo, priuſquam reſciſcat civitas,
Os rabularum obturando pecuniolâ
Chr.

ΣΧΟΛΙΑ.

ὅτι, ὡς οἴονταί τινες· ἡ γὰρ ἐςι πρὸς τὸ ζητεῖς, ἀλλὰ πρὸς τὸ κεκλοφότα. καὶ ἔςιν ἀντὶ τοῦ καθαςίζων ἢν πρὸς τὸ κράζῃς; τολοιπὸν λέγει κωμῳδικῶς.

373. Ἀπεςέρηκας. | Ἀποςερῶ ἐςὶν ὅταν παρακαταθήκῃ τινὸς λαθὼν εἰς διαβολὴν χωρήσω, καὶ σὺ ἐθέλῃς διδόναι αὐτῷ, καὶ μὴ ἐλάβον.

377. Ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ, | Ὡς πρὸς εὐρηκότα ἡ διάλεξις. χρῆται δὲ τῇ πηλικότητι, ἀντὶ ποσότητος.

379. Τὸ στόμ' ἐπιβύσας. | Τείνεται πρὸς τὰς ῥήτορας, ἐπεὶ δὴ εἰώθασι τοῖς ἅρμασιν κεκληρωμένοις ἐπιφορτίζειν ὡς καινοφέλιμοι.

Χρ. Καὶ μὴν φιλῶ γ' ἄν μοι δοκῇς, νὴ τὸν Δία,
Τρεῖς μνᾶς ἀναλώσας γε λογίσασθαι δώδεκα.
Βλ. Ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθήμενον,
Ἱκετηρίαν ἔχοντα, μὴ τὴν παιδίων
Καὶ τὴν γυναικός· κἀ διοίσονθ', ἀντίρρυς, εἰ γοῦν ἀναπείσειεν τοὺς
Τῶν Ἡρακλειδῶν ὁδ' ὁπῶν, τὴν Παμφίλου. δικαστὰς ἐμοί.
Χρ. Οὐκ, ὦ καλόδαιμον· ἀλλὰ τοὺς χρηστοὺς μόνους
Ἐγώ γε, κἀν τοῖς δεξιοῖς, κἀν σώφροσιν
Ἁπλῶς πλεῖστοι ποιήσω. Βλ. Τί σὺ λέγεις; Οὕτω πάνυ πολλοὶ κάκιλοφας; Χρ. Οἴμοι τῆς κακῶν,
Ἀπολεῖς.

ΣΧΟΛΙΑ.

383. Ἱκετηρίαν ἔχοντα. | Ἱκετηρία ἐστὶ κλάδος ἐλαίας ἐρίῳ πεπλεγμένος· οἱ γὰρ ἱκετεύοντες ἐλαίας κατεῖχον κλάδον.

385. Τῶν Παμφίλου. | Πάμφιλος ζωγράφος ἦν, ὃς τοὺς τοὺς Ἡρακλείδας ἔγραψεν, ἱκετεύοντας τὸ τῶν Ἀθηναίων δῆμον. μὴ γὰρ θάνατον Ἡρακλῆς. Εὐρυσθεὺς διώκει τοὺς Ἡρακλείδας, διὰ τὸ φρὸς τὸ Ἡρακλέα τὸ ἐκείνων πατέρα ἐμφύλιον μῖσος. ταύτην τὴν ἱστορίαν ἔγραψε Πάμφιλος τραγικός. κατὰ δέ τινας ζωγράφος ἦν, ᾧ τὴν τῶν Ἡρακλειδῶν τύχην χαρακτῆρι ὑφηγήσατο. Καλλίστρατος δὲ καὶ Εὐφρόνιος τραγῳδιῶν ποιητὴν φασι, καὶ διδάξαι Ἡρακλείδας τὰ δι' αἰῶνος ἐπιτετηδευμένα ὑπομνήματα, διαζῆλ. πότερον τραγικὸς ποιητὴς ἢ ζωγράφος, οὐ καθηγήσασθαί φασιν Ἀπελλοῦ. ἐφεκλυτὸς δὲ ζωγράφος ὁ Ἀπελλῆς. ἐν μὲν τοι ταῖς διδασκαλίαις πρὸ τούτων τῶν χρόνων Πάμφιλος ὑδὲς φέρεται τραγικός. γεγραφὴ μὲν τοι ἐστὶν οἱ Ἡρακλεῖδαι καὶ Ἀλκμήνη καὶ Ἡρακλέους θυγατὴρ Ἀθηναίους ἱκετεύοντες Εὐρυσθέα διώκοντες, ἥτις Παμφίλου ἐστὶν, ὡς φασιν, ἀπὸ Ἀπολλοδώρου. ὁ δὲ Πάμφιλος ὡς ἔοικε καὶ ῥήτωρ ἦν Ἀριστοφάνους, ἄλλως, οὐ τραγῳδοποιός. ἔγραψε δὲ τοὺς Ἡρακλείδας ἱκετηρίαν ἔχοντας, ὅταν Εὐρυσθεὺς μὴ θάνατον Ἡρακλῆς τοὺς Ἡρακλείδας διώκῃ. καὶ ὅτι μὴ τὸ Ἀλκμήνης παρεκάλεσαν τοὺς Ἀθηναίους βοηθῆσαι αὐτοῖς ὅπερ καὶ ἐγένετο. τὰ δὲ συμβάντα αὐτοῖς ζωγράφος τις Παμφίλου Ἀθηναῖος

εἰς

"Why really you seem to be such a sort of a friend as would place 12 guineas to acct, for but 3 laid out." ——— ———

382. "Methinks I see a certain person kneeling in a Court of Justice" &c. ———

Heracleidæ... After the death of Hercules, Euristheus so sharply persecuted his Descendents, yt. they were obliged to fly & beg the protection of the Athenians. they went to the Senate, like suppliants, with Alcmena at yr. head. Chærephon yd. Poet wrote a Tragedy upon this subject, and Pamphilus, a celebrated Painter, drew a noble representation of it, which he placed in the Portico at Athens. ———

Chr. Atqui mihi ejuſmodi amicus videris, per deos,
Qui ſi tres minas impenderis, rationi illaturus ſis duodecim.
Bl. Videre videor quendam pro tribunali aſſidentem,
Supplicem ramum geſtantem cum liberis ſimul
Et uxore, nec differentem fere, ſi quis conferat,
Vel tantillum Heraclidis illis Pamphili.
Chr. Abſit ô miſerrime! at bonos tantum
Ipſe & gnavos & modeſtos
Dehinc diteſcere faciam. *Bl.* Quid tu ais?
